παρακέλευμα, τό, exhortatio; praescriptum. Pol. III. 407. B: *τὸ ... Φωκυλίδου παρακέλευμα* (codd. nonn. *παρακέλευσμα*). Legg. III. 688. A: *ὅτι τὸ μὲν σφῶν ἦν παρακέλευμα* (v. *παρακέλευσμα*) *ὡς* cet. XII. 950. C: *διὸ καλὸν ταῖς πολλαῖς πόλεσι τὸ παρακέλευμά* (sic Par. A. c. al. Vulg. *παρακέλευσμά*) *ἐστι προτιμᾶν τὴν εὐδοξίαν πρὸς τῶν πολλῶν.* V. 729. B: *ἐκ τοῦ νῦν παρακελεύματος* (v. *παρακελεύσματος*). Ep. VII. 328. A: *τὰ ... παρακελεύματα* (codd. nonn. *παρακελεύσματα*) *ἦν ταῦτά τε καὶ τοιαῦτα ἕτερα πάμπολλα.*

παρακελεύομαι, adhortor, cohortor; admoneo; suadeo. Conv. 212. B: *τοῖς ἄλλοις παρακελεύομαι.* 221. A: *παρακελεύομαι ... αὐτοῖν θαῤῥεῖν.* Legg. V. 727. A. Lach. 186. D: *ἐγὼ ... παρακελεύομαί σοι μὴ ἀφίεσθαι Λάχητος* cet. Phaed. 61. C: *οἷον παρακελεύει τοῦτο ... Εὐηνῷ;* Legg. XII. 960. E: *ὀρθῶς παρακελεύει.* Conv. 184. A: *τοῖς μὲν διώκειν παρακελεύεται* cet. Legg. VIII. 837. C: *ἐμπλησθῆναι*

Digitized by Google

παρακελεύεται ἑαυτῷ. Pol. II. 362. E: παρακελεύονται πατέρες ... υἱέσι cet. Legg. V. 729. B: τοῖς πρεσβυτέροις ἂν μᾶλλον παρακελεύοιτο αἰσχύνεσθαι τοὺς νέους. Menex. 248. D: καὶ ἐὰν μὴ ἡμεῖς παρακελευώμεθα. Phaed. 60. E: τοῦτο ὑπελάμβανον αὐτό μοι παρακελεύεσθαί τε καὶ ἐπικελεύειν. Conv. 193. A: πάντ' ἄνδρα χρὴ ἅπαντα παρακελεύεσθαι εὐσεβεῖν περὶ θεούς. Pol. II. 367. C. Charm. 164. E: οὐδὲ δεῖν τοῦτο παρακελεύεσθαι ἀλλήλους. Phil. 45. E: τὸ μηδὲν ἄγαν παρακελευόμενος. Legg. I. 648. B. Apol. 29. D: ὑμῖν παρακελευόμενος. Phaed. 83. A: αὐτὴν ... εἰς αὑτὴν ξυλλέγεσθαι ... παρακελευομένη. Theaet. 151. D: σοῦ γε οὕτω παρακελευομένου. Euthyd. 283. A: παρακελευόμενοι τῷ νεανίσκῳ σοφίαν τε καὶ ἀρετὴν ἀσκεῖν. Apol. 31. B: (εἰ) μισθὸν λαμβάνων ταῦτα παρεκελευόμην. Menex. 248. D: τῇ δὲ πόλει παρεκελευόμεθ' ἂν ὅπως cet. Gorg. 487. C: εὐλαβεῖσθαι παρεκελεύεσθε ἀλλήλοις. Ep. III. 315. C: ἐγὼ δὲ οὐδὲ ἀνθρώπῳ ... παρακελευσαίμην ἂν δρᾶν τοῦτο. Euthyd. 275. E: ὥστε οὐδὲ παρακελεύσασθαί μοι ἐξεγένετο εὐλαβηθῆναι τῷ μειρακίῳ. Pass. Ep. VII. 333. A: ταῦτα ἦν τὰ λεγόμενα καὶ παρακελευόμενα ὑφ' ἡμῶν.

παρακέλευσις, ἡ, *adhortatio*. Theaet. 209. E: τυφλοῦ ... παρακέλευσις ἂν καλοῖτο δικαιότερον. Conv. 182. D: ὅτι ... ἡ παρακέλευσις τῷ ἐρῶντι παρὰ πάντων θαυμαστή. Apol. 36. D: ἐπὶ τῇ ὑμετέρᾳ παρακελεύσει. Tim. 70. B: τῶν τε παρακελεύσεων καὶ ἀπειλῶν αἰσθανόμενον.

παρακέλευσμα, v. παρακέλευμα.

παρακελευστικός, ἡ, ὁν, *adhortans*. Euthyd. 283. B: ὅτι παρακελευστικὸς ὁ λόγος ἦν ἐπ' ἀρετήν.

παρακινδυνευτικός, ἡ, ὁν, *periculosus, audacter susceptus*, Soph. 242. B: τίνα ἀρχὴν τις ἂν ἄρξαιτο παρακινδυνευτικοῦ λόγου;

παρακινδυνευτικῶς, *audacter*. Pol. VI. 497. E: ὡς προθύμως καὶ παρακινδ. μέλλω λέγειν.

παρακινδυνεύω, *temere periculum subeo*, et in univ. *periclitor*. Legg. XII. 967. B: καὶ τινες ἐτόλμων τοῦτό γε αὐτὸ παρακινδυνεύειν καὶ τότε. Euth. 15. D: ἀλλὰ καὶ τοὺς θεοὺς ἂν ἔδεισας παρακινδυνεύειν μὴ οὐκ ὀρθῶς αὐτὸ ποιήσοις (*etiam deos timens refugisses periculum ne* —). Alc. II. 151. A: παρακινδυνεύειν τοσοῦτον κίνδυνον. Euthyd. 285. C: ὡς ἐγὼ ... παρακινδυνεύειν ἕτοιμος. Theaet. 204. B: παρακινδυνεύων λέγω ὅτι ἕτερον. Legg. VII. 810. E: μεθ' ὧν διακελεύει με παρακινδυνεύοντά τε καὶ θαῤῥοῦντα τὴν ... ὁδὸν τῆς νομοθεσίας πορεύεσθαι. Ep. VII. 325. A: πὰν δὲ παρακινδύνευσε παθεῖν πρὶν cet.

παρακινῶ, *permoveo, turbo*. Pol. IX. 591. E: φυλάττων μή τι παρακινῇ αὐτοῦ τῶν ἐκεῖ διὰ πλῆθος οὐσίας cet. Intrans. *permoveor, perturbor*. Pol. VII. 540. A: βασανιστέοι εἰ ἐμμενοῦσιν ἑλκόμενοι πανταχόσε ἤ τι καὶ παρακινήσουσι.

Digitized by Google

παράκλησις, ἡ, *cohortatio.* Def. 415. E: ὀργὴ παράκλησις τοῦ θυμικοῦ εἰς τὸ τιμωρεῖσθαι.

παρακλητικός, ἡ, ὁν, *cohortans, excitans.* Pol. VII. 523. D: οὐκοῦν ... εἰκότως τό γε τοιοῦτον νοήσεως οὐκ ἂν παρακλητικὸν οὐδ' ἐγερτικὸν εἴη. 524. D: ὡς τὰ μὲν παρακλητικὰ τῆς διανοίας ἐστί, τὰ δὲ οὔ. Ib. παρακλητικὰ ὁριζόμενος cet.

παρακλίνω, *deflecto, immuto.* Crat. 400. B: ἂν μὲν καὶ σμικρόν τις παρακλίνῃ. 410. A: σμικρόν τι παρακλίνοντες.

παρακοή, ἡ, *auditio.* Ep. VII. 341. B: διὰ τὰς ὑπὸ τῶν ἄλλων παρακοάς.

παρακολουθῶ, *comitor; subsequor; sequor.* Theaet. 158. C: πάντα γὰρ ὥσπερ ἀντίστροφα τὰ αὐτὰ παρακολουθεῖ. Legg. II. 667. C: καὶ τῇ μαθήσει παρακολουθεῖν ... τό γε τῆς χάριτος. Pol. III. 406. B: παρακολουθῶν ... τῷ νοσήματι. Soph. 266. C: αὐτό τε καὶ τὸ παρακολουθοῦν εἴδωλον ἑκάστῳ.

παράκουσμα, τό, *auditio* (sensu qui dicitur concreto). Ep. VII. 338. D: παρακουσμάτων τινῶν ἔμπειροι τῶν κατὰ φιλοσοφίαν. 340. B: ἄλλως τε καὶ τοῖς τῶν παρακουσμάτων μεστοῖς.

παρακούω, *non recte audio.* Theaet. 195. A: παρορῶσί τε καὶ παρακούουσι. 157. E: παρακούειν. Prot. 330. E: ὅτι δὲ καὶ ἐμὲ οἴει εἰπεῖν τοῦτο, παρήκουσας. **subausculto* (germ. *abhorchen*). Euthyd. 300. D: παρ' αὐτῶν τούτων αὐτὰ ταῦτα παρακηκόει (v. παρηκηκόει). **audio.* Ep. VII. 339. E: νέον ἄνθρωπον παρακούοντα (sic codd. Vulg. παρακούσαντα) ἀξίων λόγου πραγμάτων ... πρὸς ἔρωτα ἐλθεῖν τοῦ βελτίστου βίου.

παρακρούω, *decipio* (pr. in ponderando, germ. *schnellen*), *in errorem induco* vel *a recta ratione abduco.* Crit. 47. A: οὐκ ἄν σε παρακρούοι ἡ παροῦσα ξυμφορά. Lys. 215. C: ἆθρει δὴ ... πῇ παρακρουόμεθα. Theaet. 168. A: τὰ σφάλματα ἃ αὐτὸς ὑφ' ἑαυτοῦ καὶ τῶν προτέρων συνουσιῶν παρεκέκρουστο. Med. Crat. 393. C: φύλαττε γάρ με μή πῃ παρακρούσωμαί (Vat. l. παρακρούσομαί) σε.

παραλαμβάνω, *accipio, suscipio,* etiam *percipio; sumo, assumo; nanciscor; reperio* (germ. *finden* et *vorfinden*). Alc. I. 121. E: τὸν παῖδα παραλαμβάνουσιν οὓς ἐκεῖνοι βασιλείους παιδαγωγοὺς ὀνομάζουσιν. Legg. VII. 796. B: παραλαμβάνειν ἐν χάρισιν. XII. 968. D: ἐν οἷς (χρόνοις) δεῖ παραλαμβάνειν ἕκαστα. Pol. II. 369. B: παραλαμβάνων ἄλλος ἄλλον ἐπ' ἄλλου. Epin. 991. D: τῷ παραλαμβάνοντι κατὰ τρόπον. Theaet. 198. B: παραλαμβάνοντα δὲ μανθάνειν (καλοῦμεν). Apol. 18. B: οἱ ὑμῶν τοὺς πολλοὺς ἐκ παίδων παραλαμβάνοντες ἔπειθον cet. Pol. V. 460. B: τὰ ἀεὶ γιγνόμενα ἔκγονα παραλαμβάνουσαι αἱ ἐπὶ τούτων ἐφεστηκυῖαι

Digitized by Google

ἀρχαί. Legg. X. 897. A. Critia 109. D: διὰ τὰς τῶν παραλαμβανόντων φθοράς. Tim. 68. E: ταῦτα ... πάντα ... ὁ δημιοῦργος ... ἐν τοῖς γιγνομένοις παρελάμβανεν. Lach. 197. D: ὅτι ὅδε ταύτην τὴν σοφίαν παρὰ Δάμωνος ... παρείληφεν. Theaet. 180. C: τὸ ... πρόβλημα ἄλλο τι παρειλήφαμεν παρὰ ... τῶν ἀρχαίων —; Crat. 425. E. Legg. III. 698. E: νέος ... ὁ υἱὸς αὐτοῦ παρειληφέναι τὴν ἀρχὴν (ἐλέχθη). Pol. I. 330. B: βραχεῖ γέ τινι πλείω ἢ παρέλαβον. A: ὧν κέκτηται τὰ πλείω παρέλαβες, ἢ ἐπεκτήσω; Gorg. 516. B: ἀγριώτερα ἢ παρέλαβε. Lach. 178. B: οὕτω παρελάβομεν ἐπὶ τὴν συμβουλήν. Gorg. 523. A: ἐπειδὴ παρὰ τοῦ πατρὸς παρέλαβον (τὴν ἀρχήν). Men. 91. B. Legg. XII. 959. E: ὃν ἂν οἱ τοῦ τετελευτηκότος ἐπίσκοπον οἰκεῖοι παραλάβωσιν. Epin. 987. E. Pol. VI. 501. A: παραλαβεῖν καθαρὰν (πόλιν) ἢ αὐτοὶ ποιῆσαι. Critia 108. B. Legg. IX. 875. C. Euthyd. 304. C: παραλαβεῖν ... τὴν ... σοφίαν. Phaedr. 228. B: παραλαβὼν τὸ βιβλίον. Gorg. 516. A: παραλαβὼν μὴ λακτίζοντας αὐτούς. Pol. I. 330. B: ὅσην ἐγὼ νῦν οὐσίαν κέκτημαι παραλαβών. Tim. 30. A: πᾶν ὅσον ἦν ὁρατὸν παραλαβών. Legg. I. 627. E. Phaed. 82. D: παραλαβοῦσα αὐτῶν τὴν ψυχὴν ἡ φιλοσοφία ἀτεγνῶς διαδεδεμένην ἐν τῷ σώματι. 83. A. Polit. 305. B: πάνθ' ὁπόσα κεῖται νόμιμα παρὰ νομοθέτου βασιλέως παραλαβοῦσα. Pol. V. 456. D: ἄλλως τε καὶ τὴν αὐτὴν φύσιν παραλαβοῦσα. Tim. 23. E: ἐκ Γῆς τε καὶ Ἡφαίστου τὸ σπέρμα παραλαβοῦσα ὑμῶν. Legg. I. 645. B: παρὰ τούτου τοῦ γνόντος ταῦτα λόγον παραλαβοῦσαν (πόλιν). IX. 871. E. Pol. VII. 541. A: τοὺς ... παῖδας αὐτῶν παραλαβόντες. Tim. 69. C: παραλαβόντες ἀρχὴν ψυχῆς ἀθάνατον. Legg. III. 695. B. Ep. VII. 332. B: οἰκουμένας (πόλεις) παραλαβόντες. Theaet. 180. C: αὐτοὺς δὲ δεῖ παραλαβόντας ὥσπερ πρόβλημα ἐπισκοπεῖσθαι. Legg. VII. 802. B: ποιητικοὺς ἅμα καὶ μουσικοὺς ἄνδρας παραλαβόντας. IX. 856. A: μάρτυρας ἱκανῶς παραλαβόντας. Soph. 218. B: τόνδε παραλῃψόμεθα Σωκράτη.

παραλανθάνω, *lateo*. Hipp. mai. 298. B: ταῦτα δ' ἴσως ... κἂν παραλάθοι τὸν ἄνθρωπον.

παραλείπω, *relinquo*; *omitto* vel *praetermitto*. Conv. 188. E: ἴσως ... ἐγὼ τὸν Ἔρωτα ἐπαινῶν πολλὰ παραλείπω. Pol. V. 471. C: ἃ σὺ παραλείπεις. Polit. 289. B: παραλείπομεν δὲ εἴ τι μὴ μέγα λέλῃθεν. Pol. IV. 423. E: ὅσα νῦν ἡμεῖς παραλείπομεν. Legg. IV. 706. A: παραλείπῃ. XI. 924. D. Euthyd. 279. C: μή τι παραλείπωμεν τῶν ἀγαθῶν. Legg. IV. 717. E: τῷ δὲ μὴ παραλείπειν μνήμην ἐνδελεχῆ παρεχόμενον cet. VII. 809. B: δεῖ δὲ εἰς δύναμιν μηδὲν παραλείπειν αὐτῷ. Men. 97. B: ὁ νῦν δὴ παρελείπομεν ἐν τῇ περὶ τῆς ἀρετῆς σκέψει. Phaedr. 235. B: οὐδὲν παραλέλοιπεν. Tim. 58. B: τὰ ... ἐκ μεγίστων μερῶν γεγονότα μεγίστην

Digitized by Google

κενότητα ἐν τῇ ξυστάσει παραλέλοιπε. Conv. 221. D: *τοῦτο ἐν τοῖς πρώτοις παρέλιπον.* Legg. III. 677. D: *τὸν φίλον ὅτι παρέλιπες.* Pol. VI. 509. C: *μηδὲ σμικρὸν ... παραλίπῃς.* Polit. 261. C: *τὸ μὲν τοίνυν αὐτῶν παραλίπωμεν.* Euthyd. 279. C: *παραλιπεῖν.* Legg. XII. 957. A: *πρεσβύτου νομοθέτου παραλιπόντος.* Pol. VI. 502. D: *τὴν ... τῶν γυναικῶν τῆς κτήσεως δυσχέρειαν ἐν τῷ πρόσθεν παραλιπόντι.* VIII. 548. D: *παραλιπόντα.* Legg. VII. 793. C: *μήτε μέγα μήτε σμικρὸν παραλιπόντας εἰς δύναμιν.* Pol. VI. 486. B: *οὐδὲ τόδε παραλείψεις.* Legg. VI. 770. B: *πάμπολλα παραλείψομεν.* Pol. V. 471. D: *οἵκοι γε ἃ παραλείπεται ἀγαθά.* Legg. VI. 769. D: *ὅτι πάμπολλα ἀνάγκη παραλείπεσθαι τοιαῦτα.* Pol. VII. 528. E: *ὡς ὑπαρχούσης τῆς νῦν παραλειπομένης.* Legg. VIII. 828. B: *ἐπιγνώμονας τοῦ παραλειπομένου.* Critia 107. D: *ὀξέως αἰσθανόμενοι τὸ παραλειπόμενον.* Theaet. 193. E: *παρελείπετο ... τὸ νῦν λεγόμενον.* Phaedr. 234. C: *ἡγούμενος παραλελεῖφθαι.* Legg. VI. 769. C: *τὸ παραλειφθὲν ὑπὸ τῆς ἀσθενείας τῆς ἑαυτοῦ.* — Ut Lat. *relinquere*, est etiam *negligere* et *errare* (germ. *versehen* et *verfehlen*). Legg. XII. 951. C: *τὰ δ' ἐπανορθούμενον, εἴ τι παραλείπεται.* VI. 772. C: *τὸ παραλειπόμενον τῆς αὐτῶν ἀρχῆς ἐπανορθοῦσθαι.* Pol. III. 401. E: *ὅτι ... τῶν παραλειπομένων καὶ μὴ καλῶς δημιουργηθέντων ... ὀξύτατ' ἂν αἰσθάνοιτο ὁ ἐκεῖ τραφεὶς ὡς ἔδει.*

παραληπτός, ἡ, ὁν, qui accipi vel *percipi potest.* Men. 93. B: *ἢ οὐ παραδοτὸν τοῦτο ἀνθρώπῳ οὐδὲ παραληπτὸν ἄλλῳ παρ' ἄλλου.*

παραληρῶ, deliro, nugas dico. Euthyd. 288. B: *ὡς οὐδὲν ὑμῖν μέλει τοῦ παραληρεῖν.* Theaet. 169. A: *ἐγὼ ἄρτι παρελήρησα φάσκων* cet. Crat. 422. C: *μή τι παραληρήσω λέγων* cet. Hipp. mai. 295. C: *μὴ παραληρήσω.*

παραλλαγή, ἡ, permutatio. Theaet. 196. C: *διανοίας πρὸς αἴσθησιν παραλλαγήν.*

παραλλάξ, alternis. Locr. 95. C: *πάλιν καὶ παραλλάξ.*

παράλλαξις, ἡ, declinatio. Tim. 22. D: *τῶν περὶ γῆν καὶ κατ' οὐρανὸν ἰόντων παράλλαξις.* Polit. 269. E: *ὅτι σμικροτάτην τῆς αὐτοῦ κινήσεως παράλλαξιν.*

παραλλάττω, permuto. Theaet. 194. D: *οὐ παραλλάττουσι τῶν αἰσθήσεων τὰ σημεῖα.* Intrans. *deflecto, aberro.* Pol. VII. 530. B: *γίγνεσθαί τε ταῦτα ἀεὶ ὡσαύτως καὶ οὐδαμῇ οὐδὲν παραλλάττειν.* Theaet. 194. A: *παραλλάξαι τοῦ σκοποῦ καὶ ἁμαρτεῖν.* 193. C: *παραλλάξας.* Etiam *desipio* (Tim. 27. C: *εἰ μὴ παντάπασι παραλλάττομεν*) et *mente permoveor.* Tim. 71. E: *ἢ διὰ νόσον ἤ τινα ἐνθουσιασμὸν παραλλάξας.* **differo.* Legg. XII. 957. B: *ὅσα παραλλάττει τῶν τῶν πολλῶν ἐν ταῖς ἄλλαις πόλεσι δικαίων.* Impers. *παραλλάττει, interest.* Theaet. 169. E: *οὐ γάρ τι σμικρὸν παραλλάττει οὕτως ἔχον ἢ ἄλλως.*

Digitized by Google

παραλυπῶ, *afficio.* Phaed. 65. C: ὅταν μηδὲν τούτων αὐτὴν παραλυπῇ, μήτε ἀκοὴ μήτε ὄψις cet.

παραλύω, *solvo, removeo.* Legg. VII. 793. E: τρυφῆς ... ἤδη παραλυτέον. **nervos resolvo, debilito.* Ax. 367. B: παρέλυσεν, ἐλωβήσατο cet.

παραμείβομαι, *praetereo.* Lach. 183. E: ἐπεὶ ... παρημείβετο ἡ ναῦς τὴν ναῦν.

παραμελῶ, *non curo, negligo.* Pol. VIII. 555. D: παραμελοῦντες. Sis. 387. B: ἀσχολία ... μοί τις ἐγένετο ἀναγκαιοτέρα, ὥστε μὴ παραμελῆσαι αὐτῆς. Pol. X. 620. C: παρημελημένον (βίον) ὑπὸ τῶν ἄλλων.

παραμένω, *maneo* (c. dat. *apud aliquem*); *duro.* Men. 97. D: παραμένει (opp. δραπετεύει). E. Menex. 235. B: καί μοι αὕτη ἡ σεμνότης παραμένει ἡμέρας πλείω ἢ τρεῖς. Legg. XI. 915. E: παραμενέτω κατὰ πόλιν ... δέκα ἡμέρας. Men. 97. E: ὅσον ἂν χρόνον παραμένωσι. Phaed. 62. E: ὅτι μάλιστα παραμένειν. 86. C: τὰ δὲ λείψανα τοῦ σώματος ἑκάστου πολὺν χρόνον παραμένειν. Alc. I. 131. D: παραμένων. Phaed. 98. E: παραμένοντα ὑπέχειν τὴν δίκην cet. Legg. VI. 782. C: τὸ ... θύειν ἀνθρώπους ἀλλήλους ἔτι καὶ νῦν παραμένον ὁρῶμεν πολλοῖς. Crit. 48. D: παραμένοντας. Prot. 362. A: παρέμεινα. Apol. 39. E: ἀλλά μοι ... παραμείνατε τοσοῦτον χρόνον. Crit. 51. E: ὃς δ' ἂν ὑμῶν παραμείνῃ. Prot. 335. C. D: παραμεῖναι ὑμῖν. Phaed. 115. D: (ὅτι) οὐκέτι ὑμῖν παραμενῶ. Legg. VI. 769. C: σμικρόν τινα χρόνον αὐτῷ πόνος παραμενεῖ πάμπολυς.

παραμετροῦμαι, *metior.* Theaet. 154. A: ᾧ παραμετρούμεθα ἢ οὐ ἐφαπτόμεθα. B: τὸ παραμετρούμενον.

παραμίγνυμι, *admisceo.* Pol. III. 415. C: ὅ τι αὐτοῖς τούτων ἐν ταῖς ψυχαῖς παραμέμικται.

παραμόνιμος, ὁ, ἡ, *permanens.* Theag. 130. A: βέβαιον ἔχουσι καὶ παραμόνιμον τὴν ὠφέλειαν.

παραμυθία, ἡ, *consolatio.* Ax. 365. A: πάνυ ἐνδεᾶ παραμυθίας. Etiam *oblectatio.* Soph. 224. A: τὰ μὲν παραμυθίας, τὰ δὲ σπουδῆς χάριν ἀχθέντα καὶ πωλούμενα. **adhortatio.* Pol. V. 450. D: καλῶς εἶχεν ἡ παραμυθία. **persuasio*; *confirmatio.* Euthyd. 290. A: ἡ δὲ δικαστῶν ... καὶ τῶν ἄλλων ὄχλων κήλησίς τε καὶ παραμυθία τυγχάνει οὖσα. Phaed. 70. B: τοῦτο ... ἴσως οὐκ ὀλίγης παραμυθίας δεῖται καὶ πίστεως. Legg. IV. 720. A: παραμυθίας ... καὶ πειθοῦς.

παραμύθιον, τό, *solatium, levamen.* Phaedr. 240. D: ποῖον παραμύθιον ἢ τίνας ἡδονὰς διδοὺς ποιήσει τὸν ... συνόντα μὴ οὐχὶ ἐπ' ἔσχατον ἐλθεῖν ἀηδίας; Legg. IV. 704. D: νῦν δὲ παραμύθιον ἔχει τὸ τῶν ὀγδοήκοντα σταδίων. 705. A: παραμύθιον ... πρὸς ταῦτα καὶ τὸ πάμφορος εἶναι κέκτηται. Euthyd. 272. B: ἱκανὸν τεκμήριον ἔχω καὶ παρα-

Digitized by Google

μύθιον τοῦ μὴ φοβεῖσθαι. Pol. I. 329. E: *τοῖς γὰρ πλουσίοις πολλὰ παραμύθιά φασιν εἶναι.* Legg. I. 632. E: *παραμύθια ποιήσασθαι τῆς ὁδοῦ.* Etiam id quo quid excitatur (germ. *Reizmittel*). Critia 115. B: *ὅσα τε παραμύθια πλησμονῆς μεταδόρπια ἀγαπητὰ κάμινοντι τίθεμεν.* **adhortatio.* Legg. X. 885. B: *τὸ παραμύθιον ὑποθεμένῳ ῥητέον ἃ δεῖ πάσχειν.* VI. 773. E: *περὶ γάμων δὴ ταῦτ' ἔστω παραμύθια λεγόμενα.* XI. 923. C. 880. A: *ἐὰν μέν τις τοιούτοις παραμυθίοις εὐπειθὴς γίγνηται.*

παραμυθοῦμαι, consolor; sedo, levo (etiam *oblecto*); *persuadeo, adhortor, admoneo;* germ. *zureden* (h. e. *trösten* et *ermahnen*). Pol. V. 451. A: *ὥστε οὐκ εὖ με παραμυθεῖ.* Phaed. 83. A: *ὅτι ... ἡ φιλοσοφία ... ἡρέμα παραμυθεῖται.* Euthyd. 288. C: *δεώμεθα καὶ παραμυθώμεθα.* Prot. 346. B: *αὐτοὺς ἑαυτοὺς παραμυθεῖσθαι.* Polit. 268. B: *παραμυθεῖσθαι καὶ κηλῶν πραΰνειν.* Pol. V. 476. D: *ἔξομέν τι παραμυθεῖσθαι αὐτὸν καὶ πείθειν ἠρέμα —;* Menex. 247. C: *πατέρας ... χρὴ παραμυθεῖσθαι ὡς ῥᾷστα φέρειν τὴν ξυμφοράν.* Phaed. 115. D: *παραμυθούμενος ἅμα μὲν ὑμᾶς, ἅμα δ' ἐμαυτόν.* Pol. VI. 499. E. Legg. XII. 944. B: *μυρί' ἂν ἔχοι τις τοιαῦτα παραμυθούμενος ἐπᾴδειν.* Euthyd. 277. D. Pol. IV. 442. A: *παραμυθουμένη.* Critia 108. C: *παραμυθουμένῳ ... καὶ παραθαῤῥύνοντί σοι πειστέον.* Soph. 230. A: *τὰ μὲν γαλεπαίνοντες, τὰ δὲ μαλθακωτέρως παραμυθούμενοι.* Legg. I. 625. B: *λόγοις ... ἀλλήλους παραμυθουμένους.* Ep. VII. 329. D: *αὐτὸν ἐμὲ παρεμυθεῖτο.* Legg. II. 666. A: *πῶς οὖν αὐτοὺς παραμυθησόμεθα προθύμους εἶναι πρὸς τὰς ᾠδάς;* X. 899. D: *τὸν ... ἡγούμενον μὲν θεοὺς εἶναι ... παραμυθητέον.*

παραναγιγνώσκω, scripta recognosco et *inter se confero.* Theaet. 172. E: *ὑπογραφὴν παραναγιγνωσκομένην.*

παράνοια, ἡ, dementia. Phaedr. 266. A: *τὸ τῆς παρανοίας ... εἶδος.* Legg. XI. 928. E: *παρανοίας γράφεσθαι.* 929. D: *τὴν τῆς παρανοίας γράφεσθαι δίκην.*

παρανομία, ἡ, legum violatio, insolentia. Pol. IV. 424. D: *ἡ γοῦν παρανομία ... ῥᾳδίως αὕτη λανθάνει παραδυομένη.* Legg. III. 701. A. Pol. VII. 537. E: *παρανομίας ... ἐμπίπλανται.* Legg. III. 700. D: *ἄρχοντες ... τῆς ἀμούσου παρανομίας.* E: *τοῖς πολλοῖς ἐνέθεσαν παρανομίαν εἰς τὴν μουσικὴν καὶ τόλμαν.*

παράνομος, ὁ, ἡ, legum contrarius; perversus; nefarius. Pol. VII. 539. A: *παράνομος δὴ ... δόξει γεγονέναι ἐκ νομίμου.* IV. 424. E: *παρανόμου γιγνομένης αὐτῆς* (τ. *παιδιᾶς*). Legg. IX. 856. C. Pol. IX. 572. D: *οὔτε παράνομον βίον ζῇ.* VII. 810. A: *διατριβὴν ποιεῖσθαι παράνομον.* Polit. 302. E: *τὸ παράνομον καὶ ἔννομον.* Pol. VIII. 538. B: *παράνομόν τι δρᾶσαι ἢ εἰπεῖν.* IX. 571. B: *παράνομοι* (*ἡδοναί τε καὶ ἐπιθυμίαι*). IX. 572. A: *παράνομοι αἱ ὄψεις*

Digitized by Google

... τῶν ἐννυπνίων. Polit. 303. A: παρανόμιων δ' οὐσῶν (τῶν πολιτειῶν). Phaed. 113. E: φόνους ... παρανόμιους. Legg. VIII. 838. A. Hipp. mai. 285. B. Phaedr. 254. A: ὡς δεινὰ καὶ παράνομα ἀναγκαζομένω. Apol. 31. E: διακωλύων πολλὰ ἄδικα καὶ παράνομα ἐν τῇ πόλει γίγνεσθαι.

παρανομῶ, *contra legem facio, leges perrumpo.* Legg. IX. 881. A: ὅστις ... παρανομεῖ. Hipp. mai. 285. A: παρανομοῦσιν ἄρα Λακεδαιμόνιοι cet. Legg. IX. 856. B: ὃς ἂν ... παρανομῇ. VII. 788. B: παρανομεῖν. Pol. I. 338. E: ὡς παρανομοῦντά τε καὶ ἀδικοῦντα. Riv. 137. D: τοὺς ... παρανομοῦντας. Legg. IX. 864. E: παρανομῆσαι.

παράνομος, *contra leges.* Polit. 302. E: τό γε κατὰ νόμους ἄρχειν καὶ παρανόμως (v. παρανομεῖν). Legg. IX. 866. C: ἐὰν δ' ἔλθῃ παρανόμως. 881. E. XII. 941. B: ὅστις δρᾷ τοιοῦτον παρανόμως. Apol. 32. B.

παρανοῶ, *falso cogito.* Theaet. 195. A: παρακούουσι καὶ παρανοοῦσι πλεῖστα.

παραπαίω, *deliro, insanio.* Conv. 173. E: ὅτι ... μαίνομαι καὶ παραπαίω.

παράπαν (τό), *in universum, omnino; prorsus.* Prot. 334. A: ἃ μηδὲ τὸ παράπαν ὠφέλιμα. Gorg. 450. D: καὶ τὸ παράπαν πᾶσα ἡ πρᾶξις ... αὐταῖς διὰ λόγων ἐστί. Phaed. 89. E: οὐδενὸς οὐδὲν ὑγιὲς εἶναι τὸ παράπαν. Theaet. 189. A: ὅ γε μηδὲν δοξάζων τὸ παράπαν οὐδὲ δοξάζει. Crat. 429. C: ὅτι ψευδῆ λέγειν τὸ παράπαν οὐκ ἔστιν —; Pol. II. 378. B. Legg. I. 637. D: λέγω δ' οὐκ οἴνου περὶ πόσεως τὸ παράπαν ἢ μή. Apol. 26. C: καὶ οὐκ εἰμὶ τὸ παράπαν ἄθεος. al. sexc.

παραπείθω, *falso persuadeo, decipio.* Legg. X. 892. D: μή πῃ πρεσβύτας ἡμᾶς ὄντας ... παραπείσῃ (ὁ λόγος).

παραπέτασμα, τό, *integumentum;* etiam trop. Polit. 279. D: τῶν φραγμάτων τὰ μὲν παραπετάσματα, τὰ δὲ ... ἀλεξητήρια. Prot. 316. E: ταῖς τέχναις ταύταις παραπετάσμασιν ἐχρήσαντο.

παραπήγνυμαι, *in tabulis describo.* Ax. 370. C: τὰ τοῦ κόσμου παθήματα παραπήξασθαι.

παραπίπτω, *incido, intervenio; offeror, obtingo.* Pol. V. 466. A: εἴ που παραπίπτοι. Phaed. 66. D: ἐν ταῖς ζητήσεσιν αὖ πανταχοῦ παραπῖπτον (τὸ σῶμα). Pol. VIII. 561. B: τῇ παραπιπτούσῃ ἀεὶ (ἡδονῇ) τὴν ἑαυτοῦ ἀρχὴν παραδιδοὺς. Legg. VIII. 842. A: ὁπόταν γε δή μοι δόξῃ τις παραπεπτωκέναι καιρός. 832. B: τῷ παραπεπτωκότι λόγῳ. IX. 857. C: ὡς γε ἐν τῷ νῦν παραπεπτωκότι λέγειν. Ep. VII. 324. C: καί μοι τύχαι τινὲς τῶν τῆς πόλεως πραγμάτων τοιάδε παρέπεσον. Legg. III. 686. D: θαυμαστὸν κτῆμα παραπεσεῖν τοῖς Ἕλλησιν. IV. 709. C: τὸν νομοθέτην ἀληθείας ἐχόμενον τῇ τοιαύτῃ παραπεσεῖν ἑκάστοτε πόλει δεῖν. Polit. 14. C: τὸν νῦν δὴ παραπεσόντα (λόγον) λέγω.

Digitized by Google

παράπλεος, ὁ, ἡ, *plenus.* Pol. III. 390. A: ὅταν παράπλειαι (v. παραπλεῖαι) ὦσι τράπεζαι σίτου cet. (Hom. παρὰ δὲ πλήθωσι τράπεζαι).

παραπλέω, *praetervehor.*. Phaedr. 259. A: παραπλέοντας σφᾶς ὥσπερ Σειρῆνας ἀκηλήτους.

παραπλήσιος, ία, ιον, *similis, aequalis.* Crat. 437. B: ἡ ἀμαθία καὶ ἡ ἀκολασία παραπλησία τούτοις φαίνεται. Gorg. 520. A: ταὐτόν ... ἐστὶ σοφιστὴς καὶ ῥήτωρ, ἢ ἐγγύς τι καὶ παραπλήσιον. Crat. 393. A: παραπλήσιόν τι ... τῷ Ἀστυάνακτι. Pol. X. 604. A: τὸ ... ἡσύχιον ἦθος παραπλήσιον ὂν ἀεὶ αὐτὸ αὑτῷ. III. 397. C: ἐν ῥυθμῷ ὡσαύτως παραπλησίῳ τινί. Crat. 414. A: ἐπὶ παραπλησίῳ τινὶ τούτῳ ἐστί. Pol. I. 329. A: παραπλησίαν ἡλικίαν ἔχοντες. V. 451. D: τὴν γένεσιν καὶ τροφὴν παραπλησίαν ἀποδιδόντες. Alc. II. 148. C: παραπλησίαν εὐχὴν εὔχονται. Hipp. min. 370. E: ἀμφοτέρω γὰρ καὶ κατὰ τοῦτο παραπλησίω ἐστόν. Prot. 349. D: παραπλήσια ἀλλήλοις. Soph. 217. B: λόγων ἐπελάβου παραπλησίων ὧν ... διερωτῶντες αὐτὸν ἐντυγχάνομεν. Tim. 18. C: ὡς τὰς φύσεις τοῖς ἀνδράσι παραπλησίας εἴη ξυναρμοστέον. Prot. 359. A: τὰ μὲν τέτταρα ἐπιεικῶς παραπλήσια ἀλλήλοις εἶναι. Pol. II. 363. B. Tim. 29. E. Legg. III. 695. E: παραπλήσια ἀπετέλεσε τοῖς Καμβύσου παθήμασι. Alc. II. 149. C: ἕτερα παραπλήσια τούτοις εἰρημένα.

παραπλησίως, *similiter.* Phaedr. 255. E: ἐπιθυμεῖ δὲ ἐκείνῳ παραπλησίως μέν, ἀσθενεστέρως δὲ ὁρᾶν cet. Gorg. 498. C: παραπλησίως ἄρα χαίρουσι καὶ λυποῦνται οἱ ἀγαθοὶ καὶ οἱ κακοί. Pol. V. 462. B. Apol. 37. A: παραπλησίως δοκῶ λέγειν ὥσπερ περὶ τοῦ οἴκου cet. Ep. IV. 321. A: τὰ δ' ἐνθάδε παραπλησίως ἔχει καθάπερ καὶ ὑμῶν παρόντων. Polit. 275. C: παραπλησιαίτερον παιδείας μετειληφέναι καὶ τροφῆς.

παραποδίζω, *implico.* Ep. VII. 330. B: φοβούμενος ... μή πῃ παραποδισθείῃ. **deludo.* Legg. II. 652. B: μή πῃ παραποδισθῶμεν ὑπ' αὐτοῦ.

παραποδύομαι, *iuxta me exuo* (ut in certamen descendam). Theaet. 162. B: παραποδυόμενος.

παραπρεσβεύομαι, *legationem male gero.* Legg. XII. 941. A: ἐὰν ὡς πρεσβευτής τις ἢ κήρυξ καταψευδόμενος τῆς πόλεως παραπρεσβεύηται πρός τινα πόλιν.

παραῤῥῶ, *luxo.* Ax. 367. B: παρήῤῥηγεν.

παραῤῥέω, *dilabor.* Legg. VI. 781. A: πολλὰ ὑμῖν παρέῤῥει (v. παραῤῥεῖ).

παρασημαίνομαι, *iuxta obsigno.* Legg. XII. 954. B: τὰ ... σεσημασμένα παρασημηνάσθω.

παρασιτῶ, *cum aliquo coeno.* Lach. 179. C: καὶ ἡμῖν τὰ μειράκια παρασιτεῖ.

παρασκευάζω, *apparo; praeparo; comparo; efficio; praesto* vel *praebeo; instruo, instituo*; etiam *curo.* Prot. 353. D: ὅτι ...

Digitized by Google

ἄλλα τοιαῦτα πολλὰ παρασκευάζει. Conv. 188. D: πᾶσαν ἡμῖν εὐδαιμονίαν παρασκευάζει. Pol. VIII. 562. C: παρασκευάζει (τὴν πολιτείαν) τυραννίδος δεηθῆναι. Legg. IV. 720. C. Polit. 281. D: ὅσαι ... ταῖς ... δημιουργούσαις ὄργανα παρασκευάζουσιν. Phaed. 63. E: ἀλλὰ μόνον τὸ ἑαυτοῦ παρασκευαζέτω ὡς καὶ δὶς δώσων ... καὶ τρίς. Legg. VII. 792. C: εἴ τις πολλὰς ἡδονὰς αὐτῷ παρασκευάζοι. II. 669. D: γέλωτ' ἂν παρασκευάζοιεν τῶν ἀνθρώπων. Prot. 354. C: (ὅταν) λύπας μείζους παρασκευάζῃ τῶν ἐν αὐτῷ ἡδονῶν. Legg. VIII. 831. A: (ὅπως) τὴν πόλιν ὅλην εἰς τὸν ἀληθινὸν ἀγῶνα διὰ βίου παρασκευάζῃ χρησίμην. V. 738. D: ὅπως ἂν ... εὐμάρειαν παρασκευάσωσι. Phaedr. 238. E: ἀνάγκη ... τὸν ἐρώμενον ὡς ἥδιστον ἑαυτῷ παρασκευάζειν. Gorg. 503. A: τὸ παρασκευάζειν ὅπως ὡς βέλτισται ἔσονται τῶν πολιτῶν αἱ ψυχαί. 510. D: ἐθίζειν αὐτὸν ... καὶ παρασκευάζειν ὅπως cet. Soph. 233. B: τοῖς νέοις δόξαν παρασκευάζειν ὡς cet. Pol. II. 369. E: τὸν γεωργὸν ἕνα ὄντα παρασκευάζειν σιτία τέτταρσι. III. 405. C: τὸ παρασκευάζειν τὸν βίον αὐτῷ μηδὲν δεῖσθαι νυστάζοντος δικαστοῦ. Legg. VII. 803. E: ὥστε τοὺς ... θεοὺς ἵλεως αὐτῷ παρασκευάζειν δυνατὸν εἶναι. Apol. 39. D: ἑαυτὸν παρασκευάζειν ὅπως ἔσται ὡς βέλτιστος. Gorg. 518. C: ὁ μὲν ἄρτους θαυμαστοὺς παρασκευάζων. Legg. IV. 720. D: παρασκευάζων τὸν κάμοντα. Alc. I. 122. A: ἀδεᾶ παρασκευάζων. Phaed. 84. A: γαλήνην τούτων παρασκευάζουσα. Ep. I. 309. C: ἀδοξίαν ... πλείστην ... τῷ διδόντι σοι παρασκευάζον. Phaed. 67. D: ἄνδρα παρασκευάζονθ' ἑαυτὸν ἐν τῷ βίῳ ... οὕτω ζῆν cet. Gorg. 500. B: αὐτὸ τοῦτο μόνον παρασκευάζουσαι. Epin. 990. C: ἐπὶ ... ταῦτα παρασκευάζοντας φύσεις. Soph. 251. B: ὅθεν γε ... τοῖς νέοις ... θοίνην παρεσκευάκαμεν. Pol. II. 361. A: τὴν μεγίστην δόξαν αὐτῷ παρεσκευακέναι εἰς δικαιοσύνην. Legg. V. 735. E: ὅσοι ... ἑτοίμους αὐτοὺς ἐνδείκνυνται παρεσκευακότες ἕπεσθαι. XI. 919. B: τὰς διαβολὰς παρεσκευακότα. Tim. 77. E: τὴν ὑδραγωγίαν παρεσκεύασαν τρόπῳ τινὶ τοιῷδε cet. Legg. VIII. 829. E: τὴν πόλιν ὅλην παρασκευάσας. Ep. VII. 346. A: αὐτός μοι πομπὴν παρασκευάσειν ἔφη. Lys. 220. A: οὗ ἕνεκα πάντα τὰ τοιαῦτα παρασκευάζεται. Ib. πάντα τὰ παρασκευαζόμενα. Legg. III. 699. A: οἱ δὲ Ἀθηναῖοι πᾶν τοῦτο ὤοντο ἐπὶ σφᾶς αὐτοὺς παρασκευάζεσθαι. Pol. VI. 496. B: Θεάγει τὰ μὲν ἄλλα πάντα παρεσκεύασται πρὸς τὸ ἐκπεσεῖν φιλοσοφίας cet. Menex. 248. A: τούτῳ ἄριστα παρεσκεύασται ζῆν. Gorg. 448. D: καλῶς γε ... φαίνεται Πῶλος παρεσκευάσθαι εἰς λόγους. 479. A: ὥσπερ σὺ φῂς Ἀρχέλαον παρεσκευάσθαι καὶ τοὺς ἄλλους τυράννους cet. 502. B: ποτέρως σοι δοκεῖ παρεσκευάσθαι ἡ τῶν τραγῳδιῶν ποίησις; Phaed. 67. C: ὃς ἡγεῖται οἱ παρεσκευάσθαι τὴν διάνοιαν ὥσπερ κεκαθαρμένην. Pol. III. 416. C: δεῖν ...

Digitized by Google

καὶ τὴν ἄλλην οὐσίαν τοιαύτην αὐτοῖς παρεσκευάσθαι ἥτις cet. Legg. I. 648. D. Phaed. 91. B: *παρεσκευασμένος ... οὕτωσὶ ἔρχομαι ἐπὶ τὸν λόγον.* Pol. IV. 422. B: *ὡς οἷόν τε κάλλιστα ἐπὶ τοῦτο παρεσκευασμένος.* VI. 495. E: *ὡς νυμφίου παρεσκευασμένου.* II. 365. B: *ἀδίκῳ ... δόξαν δικαιοσύνης παρεσκευασμένῳ.* Alc. I. 120. C: *πᾶσαν παρασκευὴν παρεσκευασμένον.* Tim. 72. C: *οἷον κατόπτρῳ παρεσκευασμένον ... ἐκμαγεῖον.* Legg. VI. 751. B: *πόλιν εὖ παρεσκευασμένην.* Prot. 322. A: *οὕτω ... παρεσκευασμένοι* (*ἄνθρωποι*). Conv. 181. D: *παρεσκευασμένοι ... εἰσὶν ... ὡς τὸν βίον ἅπαντα ξυνεσόμενοι.* Pol. III. 416. B: *οὐκοῦν τὴν μεγίστην τῆς εὐλαβείας παρεσκευασμένοι ἂν εἶεν εἰ τῷ ὄντι καλῶς πεπαιδευμένοι εἰσίν;* Euthyd. 280. C: *εἰ αὐτοῖς εἴη πάντα τὰ ἐπιτήδεια παρεσκευασμένα* cet. Legg. X. 890. B: *οὕτω τούτων πάλαι παρεσκευασμένων.* XII. 953. A: *καταλύσεις ... φιλοξενίαις ἀνθρώπων παρεσκευασμένας.* Pol. I. 341. E: *ἐπὶ τούτῳ παρεσκευάσθη ἡ τέχνη.* Med. *me paro* vel *comparo*; *mihi propono*; *instituo*; *statuo*; c. accus. *mihi comparo aliquid.* Theaet. 183. D: *ἀλλὰ παρασκευάζου ὅπως ... δώσεις λόγον.* Conv. 222. D. Ep. IV. 320. D: *παρασκεύαζου τόν τε Λυκοῦργον ἐκεῖνον ἀρχαῖον ἀποδείξων* cet. Gorg. 511. B: *ἢ οἴει δεῖν τοῦτο παρασκευάζεσθαι ἄνθρωπον ὡς πλεῖστον χρόνον ζῆν —;* Legg. XII. 950. C. Euthyd. 282. A: *δεῖ ... ἅπαντα ἄνδρα τοῦτο παρασκευάζεσθαι ὅπως ὡς σοφώτατος ἔσται.* Legg. I. 648. D: *πῶμα μόνον ἀντὶ μυρίων πραγμάτων παρασκευαζόμενος.* Gorg. 479. C: *χρήματα παρασκευαζόμενοι.* Alc. II. 150. E: *ὡς ἐγὼ παρεσκεύασμαι μηδὲν ἂν φυγεῖν τῶν ὑπ' ἐκείνου προσταττομένων.* Crat. 440. E: *ὥσπερ παρεσκεύασαι* (*quod tibi propositum erat*). De lucri cup. 226. B: *κυβερνήτην μηδενὸς ἄξια ἱστία καὶ πηδάλια τῇ νηῒ παρεσκευασμένον.* Menex. 234. E: *ἐκ πολλοῦ χρόνου λόγους παρεσκευασμένων οἵ* cet. Phaed. 97. E: *παρεσκευάσμην ὡς* cet. 98. A. Menex. 247. A: *εἰ παρασκευάσαισθε τῇ τῶν προγόνων δόξῃ μὴ καταχρησόμενοι.* Gorg. 509. D: *ἐὰν δύναμιν παρασκευάσηται τοῦ μὴ ἀδικεῖσθαι.* Phaed. 65. E: *ὃς ἂν μάλιστα ἡμῶν ... παρασκευάσηται αὐτὸ ἕκαστον διανοηθῆναι.* Gorg. 509. E: *ἐπὶ τοῦτο δεῖ δύναμίν τινα καὶ τέχνην παρασκευάσασθαι ὡς* cet. Conv. 176. B: *τὸ παντὶ τρόπῳ παρασκευάσασθαι ῥᾳστώνην τινὰ τῆς πόσεως.* Theag. 121. B. Gorg. 509. C: *τί οὖν ἂν παρασκευασάμενος ἄνθρωπος βοηθήσειεν αὐτῷ —;* Legg. VIII. 830. C. — Verb. Gorg. 480. E: *παντὶ τρόπῳ παρασκευαστέον καὶ πράττοντα καὶ λέγοντα ὅπως μὴ δῷ δίκην* cet. 510. A: *ἐπὶ ... τοῦτο ... παρασκευαστέον ἐστὶ δύναμίν τινα καὶ τέχνην ὅπως* cet. Pol. V. 467. B: *παρασκευαστέον τὸ μή ποτε κινδυνεῦσαι.* Tim. 89. D. Etiam a medio (*παρασκευάζεσθαι, se parare*) ducitur. Gorg. 507. D: *παρασκευαστέον μάλιστα μὲν μηδὲν δεῖσθαι τοῦ κολάζεσθαι* cet.

Digitized by Google

παρασκευαστής, ὁ, qui parat. Gorg. 518. C: *ἐπιθυμιῶν παρασκευαστὰς ἀνθρώπους.*

παρασκευαστός, ἡ, ὸν, qui parari vel *comparari potest.* Prot. 319. B: *μηδ' ὑπ' ἀνθρώπων παρασκευαστὸν ἀνθρώποις.* 324. A: *παρασκευαστὸν εἶναι ἀρετήν.* C.

παρασκευή, ἡ, apparatio et *apparatus; comparatio* et *praeparatio* vel *instructio.* Pol. II. 369. D: *ἡ τῆς τροφῆς παρασκευὴ τοῦ εἶναί τε καὶ ζῆν ἕνεκα.* VI. 495. A: *πλοῦτοί τε καὶ πᾶσα ἡ τοιαύτη παρασκευή.* Epin. 975. C: *ξυμπάντων ὀργάνων παρασκευή.* Gorg. 510. A: *τίς ... τέχνη τῆς παρασκευῆς τοῦ μηδὲν ἀδικεῖσθαι —;* Lach. 193. A: *μετὰ τῆς τοιαύτης φρονήσεως καὶ παρασκευῆς καρτεροῦντα.* Ep. VII. 326. A: *ἄνευ παρασκευῆς θαυμαστῆς τινὸς μετὰ τύχης.* Pol. II. 369. E: *ἐπὶ σίτου παρασκευῇ.* 370. A: *ἐπὶ τῇ τῆς οἰκίας παρασκευῇ.* IV. 429. D: *οὐκ ὀλίγῃ παρασκευῇ θεραπεύσαντες.* II. 361. B: *διὰ παρασκευὴν φίλων καὶ οὐσίας.* 369. D: *πῶς ἡ πόλις ἀρκέσει ἐπὶ τοσαύτην παρασκευήν;* Legg. XII. 951. A: *τοῖς περὶ τὸν πόλεμον ἀντίστροφον ἀποδιδόντες δόξης παρασκευήν.* XII. 962. A: *ὑγιείας σώματι παρασκευήν.* Legg. III. 698. E: *παρασκευαὶ ... μεγάλαι λεγόμεναι.* Pol. II. 370. C: *ἐπὶ τὰς παρασκευὰς ὧν ἐλέγομεν.* **institutum, ars; via* et *ratio.* Gorg. 510. E: *πᾶν τοὐναντίον οὑτωσὶ ἡ παρασκευὴ ἔσται αὐτῷ ἐπὶ τὸ οἵῳ τε εἶναι ὡς πλεῖστα ἀδικεῖν* cet. 500. D: *ἑκατέρου ... αὐτοῖν μελέτην τινὰ καὶ παρασκευὴν τῆς κτήσεως.* Polit. 307. E: *περὶ ὅλην ... τὴν τοῦ ζῆν παρασκευήν.* Gorg. 500. A: *ὅτι εἶεν παρασκευαὶ αἱ μὲν μέχρι ἡδονῆς, αὐτὸ τοῦτο μόνον παρασκευάζουσαι.* 513. D: *ὅτι δύ' ἔφαμεν εἶναι τὰς παρασκευὰς ἐπὶ τὸ ἕκαστον θεραπεύειν καὶ σῶμα καὶ ψυχήν.*

παρασκοπῶ, oculos conicio in aliquem (germ. *hinblicken*). Conv. 221. C: *ῥήματα παρασκοπῶν* (al. *περισκοπῶν* libris invitis) *καὶ τοὺς φιλίους καὶ τοὺς πολεμίους.*

παρασπείρω, diffundo. Ax. 366. A: *ἅτε παρεσπαρμένη* (*ἡ ψυχὴ*) *τοῖς πόροις.*

παρασπῶμαι, detraho mihique vindico. Soph. 241: C: *ἀγαπήσεις ἐάν πῃ καὶ κατὰ βραχὺ παρασπασώμεθα οὕτως ἰσχυροῦ λόγου;*

παράστασις, ἡ, relegatio. Legg. IX. 855. D: *παραστάσεις ... ἐπὶ τὰ τῆς χώρας ἔσχατα.*

παραστάτης, ὁ, adiutor. Conv. 197. E: *παραστάτης τε καὶ σωτὴρ ἄριστος.*

παραστρέφω, muto. Crat. 418. A: *σμικρὰ πάνυ παραστρέφοντες.*

παρασφάλλομαι, aberro. Epin. 976. B: *ἀληθείας ... τῶν ὄντως δικαίων ἐκτὸς παρεσφαλμένοι.*

παρατάττω, iuxta colloco. Pol. VIII. 556. D: *παραταχθεὶς ἐν μάχῃ πλουσίῳ* cet. Med. *reluctor.* Prot. 333. E: *ἀγωνιᾶν καὶ παρατετάχθαι.*

Digitized by Google

παρατείνω, *iuxta tendo*, (figuram aliquam ad lineam rectam applico); *produco*. Pol. VII. 527. A: *τετραγωνίζειν τε καὶ παρατείνειν*. Men. 87. A: *παρὰ τὴν δοθεῖσαν αὐτοῦ γραμμὴν παρατείναντα*. Ib. *οἷον ἂν αὐτὸ τὸ παρατεταμένον ᾖ*. **distendo*; unde pass. *enecor*. Conv. 207. B: *καὶ αὐτὰ τῷ λιμῷ παρατεινόμενα*. Lys. 204. C: *παραταθήσεται ὑπὸ σοῦ ἀκούων θαμὰ λέγοντος*. (Euthyd. 303. B. pro v. *παρετάθησαν* Vat. scribit *παρείθησαν*.)

παρατεταγμένως, *ita ut reluctere* vel *obsistas*. Pol. III. 399. B: *ἐν πᾶσι τούτοις παρατεταγμένως καὶ καρτερούντως ἀμυνομένου τὴν τύχην*.

παρατίθημι, *appono; adiungo, do, trado*. Theaet. 157. C: *τούτου ἕνεκα ... παρατίθημι ἑκάστων τῶν σοφῶν ἀπογεύσασθαι*. Prot. 325. E: *παρατιθέασιν αὐτοῖς ... ἀναγιγνώσκειν ποιητῶν ἀγαθῶν ποιήματα*. Conv. 175. B: *πάντως παρατίθετε ὅτι ἂν βούλησθε*. Phil. 47. A: *ὁμοῦ λύπας ἡδοναῖς παρατιθέναι*. Legg. VI. 761. C: *ὕλην παρατιθέντας αὖην*. Pol. II. 372. C: *τραγήματά που παραθήσομεν αὐτοῖς τῶν τε σύκων* cet. Phil. 40. B: *τοῖς μὲν ἀγαθοῖς ὡς τὸ πολὺ τὰ γεγραμμένα παρατίθεσθαι ἀληθῆ*. 54. C: *γενέσεως ἕνεκα φάρμακά τε ... παρατίθεσθαι πᾶσιν*. Legg. VII. 802. C: *μὴ παρατιθεμένης τῆς γλυκείας μούσης*. Polit. 278. B: *πᾶσι τοῖς ἀγνοουμένοις τὰ δοξαζόμενα ἀληθῶς παρατιθέμενα*. Legg. IX. 858. B: *τὰ μὲν παρατιθεμένους* cet. C: *τὰ δ' ὡς παρατιθέμενα*. IV. 722. B: *τὸ τῶν διττῶν ἰατρῶν γένος ὀρθότατα παρετίθη*. Med. *appono, adiicio, adhibeo; propono, profero*. Phaed. 65. E: *μήτε τὴν ὄψιν παρατιθέμενος ἐν τῷ διανοεῖσθαι* cet. Phil. 46. B: *οὐ μὲν δὴ Φιλήβου γε ἕνεκα παρεθέμην τὸν λόγον*. Polit. 275. B: *διὰ ταῦτα μὴν καὶ τὸν μῦθον παρεθέμεθα*. Phil. 44. D: *ἵνα ... τὴν δύναμιν αὐτῆς παραθώμεθα πρὸς τὴν κρίσιν*. Tim. 47. E: *δεῖ δὲ καὶ τὰ δι' ἀνάγκης γιγνόμενα τῷ λόγῳ παραθέσθαι*. Legg. V. 735. C. Epin. 974. D: *πειρώμεθα ἐκείνας (ἐπιστήμας) ὧν δεόμεθα παραθέσθαι*. Polit. 279. A: *παράδειγμα ... σμικρότατον παραθέμενος*. Legg. I. 630. D: *τοῦτο ζητεῖ νῦν παραθέμενος*. Epin. 974. D: *παραθέμενοι*. Pol. IV. 420. E: *τὸν τροχὸν παραθεμένους*.

παρατρέπω, *deflecto, averto; flecto, perduco*. Legg. V. 736. B: *τὰ δ' ἀποχετεύοντας καὶ παρατρέποντας*. Ep. VII. 327. E: *ἐπ' ἄλλον βίον αὐτὸν τοῦ βελτίστου παρατρέψαι*. Legg. X. 885. D: *ὅτι κρείττους (οἱ θεοὶ) ἢ παρὰ τὸ δίκαιον ὑπό τινων δώρων παρατρέπεσθαι κηλούμενοι*. 906. E: *λοιβῇ ... οἴνου κνίσῃ τε παρατρεπομένοις αὐτοῖς*.

παρατρωπάω, i. q. *παρατρέπω*. Pol. II. 364. E. (Hom.).

παρατυγχάνω, *forte adsum, offeror* (germ. *sich darbieten*(et in univ. *adsum* Legg. X. 881. C: *ἐὰν δ' ἐπιχώριος ὁ παρατυγχάνων ᾖ*. 907. D. XI. 917. C: *ὁ παρατυγχάνων τῶν ἀστῶν*. Prot. 340. E: *εἰς καιρόν γε παρατετύχηκεν ἡμῖν ἐν*

Digitized by Google

τοῖς λόγοις Πρόδικος ὅδε. Pol. V. 474. A: ὅ τι ἑκάστῳ παρέτυχεν ὅπλον. Legg. VI. 769. B: ἐν τῷ νῦν παρατυχόντι περὶ αὐτῆς ἡμῖν λόγῳ.

παραυτίκα, *illico.* Alc. I. 105. E: οὐδὲν ὅ τι οὐ παραυτίκα δυνήσεσθαι. — ἐν τῷ παραυτίκα, *in praesentia* (nos: *für den Augenblick, momentan*). Phaedr. 240. B: ἀλλά τις διαίμων ἔμιξε τοῖς πλείστοις ἐν τῷ παραυτίκα ἡδονήν. Pol. VIII. 558. A: ἆρ' οὐ θεσπεσία καὶ ἡδεῖα ἡ τοιαύτη διαγωγὴ ἐν τῷ παραυτίκα; — Cum art. et adi. Phaedr. 239. A: ἢ στέρεσθαι τοῦ παραυτίκα ἡδέος.

παραφαίνομαι, *appareo.* Theaet. 199. C: δεινότερον μέντοι πάθος ἄλλο παραφαίνεσθαί μοι δοκεῖ. Theag. 122. A: σὺ οὖν ἡμῖν εἰς καλὸν παρεφάνης. Soph. 231. B: ἐν τῷ νῦν λόγῳ παραφανέντι.

παραφέρω, *praeter aliquid fero* vel *porto.* Pol. VII. 515. A: τοὺς δὲ σιγῶντας τῶν παραφερόντων. B: τί δὲ τῶν παραφερομένων; **affero.* Ep. VII. 311. A: χαίρουσι τὴν Σιμωνίδου ξυνουσίαν παραφέροντες. **appono.* Pol. I. 354. B: τοῦ ἀεὶ παραφερομένου ἀπογεύονται ἁρπάζοντες. — Pass. *abripior, aberro* (a vero). Legg. X. 893. A: παραφερόμενος. Phaedr. 265. B: ἴσως μὲν ἀληθοῦς τινὸς ἐφαπτόμενοι, τάχα δ' ἂν καὶ ἄλλοσε παραφερόμενοι. Polit. 275. A: τοιαύτῃ μὲν πάμπολυ παρηνέχθημεν. Phil. 60. D: εἰ ... παρηνέχθημέν τι τότε. 38. D: παρενεχθείς.

παραφθέγγομαι, *ita loquor ut aliquid adiiciam.* Euthyd. 296. A: οὐκ αὖ ... παύσει παραφθεγγόμενος;

παράφθεγμα, τό, *adiectio.* Euthyd. 296. B: ἥκει τὸ αὐτὸ παράφθεγμα.

παράφορος, ὁ, ἡ, *aberrans.* Soph. 228. C: παραφόρου ξυνέσεως (*ab intelligentia*) γιγνομένης (ψυχῆς). C: παράφορα αὐτοῦ γίγνεται καὶ ἀποτυγχάνει. **vacillans.* Legg. VI. 775. D: σπείρειν παράφορος ἅμα καὶ κακὸς ὁ μεθύων.

παραφορότης, ἡ, *pravitas.* Tim. 87. E: διὰ τὴν παραφορότητα πτώματα παρέχον.

παραφορυῦμαι, *colligo.* Legg. IX. 858. B: παραφορήσασθαι χύδην cet.

παράφραγμα, τό, *tabulatum* (*Verschlag*). Pol. VII. 514. B: ὥσπερ τοῖς θαυματοποιοῖς πρὸ τῶν ἀνθρώπων πρόκειται τὰ παραφράγματα.

παραφρονῶ, *demens sum.* Legg. X. 899. C: οὐκ ἔστιν οὕτως ... παραφρονῶν οὐδείς.

παραφροσύνη, ἡ, *aberratio mentis* (a vero); *amentia.* Soph. 228. D: τὸ ἀγνοεῖν ἐστὶν ... οὐδὲν ἄλλο πλὴν παραφροσύνη. Ep. VII. 331. C: μὴ νόσῳ παραφροσύνης ἐχομένους. Locr. 103. B: παραφροσύναι.

παράφρων, ὁ ἡ, *demens.* Legg. I. 649. D: πάνθ' ὅσα δι' ἡδονῆς αὖ μεθύσκοντα παράφρονας ποιεῖ.

παραφυλάττω, *observo; prospicio.* Legg. I. 628. A: παρα-

Digitized by Google

φυλάττειν ... ὥστε εἶναι φίλους. Polit. 297. A: τὸ τῆς νεὼς καὶ ναυτῶν ἀεὶ ξυμφέρον παραφυλάττων. Legg. I. 632. A: ξυμπάντων τε ἐρώτων τὰς σπουδὰς ἐπεσκεμμένον καὶ παραπεφυλαχότα. *caveo. Polit. 284. A: ὡς ὃν χαλεπὸν περὶ τὰς πράξεις παραφυλάττουσι. Legg. IV. 715. A: παραφυλάττοντες δ' ἀλλήλους ζῶσιν ὅπως μή ποτε cet.

παραχρῆμα (rectius παρὰ χρῆμα), *statim, confestim, e vestigio.* Phaedr. 243. B: παρὰ χρῆμα ἀνέβλεψεν. Tim. 25. E. Legg. VII. 800. D. IX. 865. A. 866. E. Theag. 129. E: τάχυ γὰρ παρὰ χρῆμα ἐπιδιδόασι. 131. al. Cum art. est *praesens* et *in praesentia.* Crat. 395. D: τὸ ἐγγὺς μόνον ὁρῶν καὶ τὸ παρὰ χρῆμα. Legg. II. 670. D: (ἵνα) ἡδονὰς τὸ παρὰ χρῆμα ἀσινεῖς ἡδωνται. Cum art. et subst. est i. q. adiect. *augenblicklich* vel *momentan.* Prot. 353. D: κατὰ τὴν αὐτῆς τῆς ἡδονῆς τῆς παρὰ χρῆμα ἐργασίαν. 355. B: διὰ τὰς παρὰ χρῆμα ἡδονάς. — ἐκ τοῦ παρὰ χρῆμα, *subito* s. *ex tempore.* Crat. 399. D: ἐκ τοῦ παρὰ χρῆμα λέγειν. Conv. 185. C. Critia 107. E. Etiam *e vestigio, illico.* Legg. VI. 768. B. IX. 867. A: ἐκ τοῦ παρὰ χρῆμα ἐξαίφνης. Euthyd. 303. E. — ἐκ τοῦ παρα χρῆμα, *in praesentia* (germ. *in dem Augenblicke* et *für den Augenblick*); etiam *illico* et *subito.* Prot. 353. D: ὅτι τὴν ἡδονὴν ταύτην ἐν τῷ παρὰ χρῆμα παρέχει. Polit. 310. C: τὴν ἐν τῷ παρὰ χρῆμα διώκοντες ῥᾳστώνην. Phil. 21. C: τῆς ... ἐν τῷ παρὰ χρῆμα ἡδονῆς προσπιπτούσης. Pol. III. 408. B: κἂν εἰ τύχοιεν ἐν τῷ παρὰ χρῆμα κυκεῶνα πιόντες. V. 455. A: ὅτι ἐν μὲν τῷ παρὰ χρῆμα (*subito*) ἱκανῶς εἰπεῖν οὐ ῥᾴδιον, ἐπισκεψαμένῳ δὲ οὐδὲν χαλεπόν. Legg. VII. 799. D. XI. 915. D: δεχόμενον ἐν τῷ παρὰ χρῆμα (*illico*) τιμήν. Menex. 235. A. B. — εἰς τὸ παρὰ χρῆμα, *in praesentia.* Legg. I. 646. C: ὡς ἀσθενεῖς εἰς τὸ παρὰ χρῆμα γίγνονται.

παραχωρῶ, *cedo; locum do* (alicui). Prot. 336. B: παραχωρεῖ Πρωταγόρα. B: εἴ τῳ ἀνθρώπων παραχωρεῖ. *locum facio (alicui). Conv. 213. A: παραχωρῆσαι ... τὸν Σωκράτη ὡς ἐκεῖνον καθίζειν. *locum do s. concedo. Apol. 34. A: νῦν παρασχέσθω, ἐγὼ παραχωρῶ. Polit. 260. E: ὄνομα ἕτερον αὐτοῖς παραχωρήσαντες θέσθαι τινά. *obsequor. Legg. XII. 959. E: τῷ δὲ πολιτικῷ νόμῳ νομοθετοῦντι παραχωρεῖν χρὴ τὰ τοιάδε.

παράψογος, ὁ, *reprehensio subseciva.* Phaedr. 267. A: παραψόγους.

πάρδαλις, ἡ, *pardus* s. *pardalis.* Lach. 196. E: λέοντα ἢ πάρδαλιν cet.

παρεγγράφω, *adscribo.* Legg. VI. 753. C: παρεγγράφειν ... καὶ τὸ αὐτοῦ ... ὄνομα.

παρειαί, αἱ, *genae.* Polit. 270. E: τῶν γενειώντων αἱ παρειαί. Ion. 539. A. (Hom.).

παρεικάζω, *comparo.* Pol. V. 473. C: ὃ τῷ μεγίστῳ

Digitized by Google

παρεικάζομεν κύματι. Polit. 260. E: *ἦ βούλει ... καὶ τοὔνομα παρεικάσωμεν —;*

παρείκω, concedo, permitto. Theaet. 150. D: *οἷσπερ ἂν ὁ θεὸς παρείκῃ.* Pol. II. 374. E: *ὅσον γ' ἂν δύναμις παρείκῃ.* Theag. 131. Legg. XI. 934. C: *ὅπως ἂν ἡμῖν παρείκωσι θεοὶ ... νομοθετεῖν.* Impers. *παρείκει, licet, fieri potest.* Conv. 187. E: *καθ' ὅσον παρείκει (quoad eius fieri potest).* Legg. V. 734. B: *τόν γε βουλόμενον ἡδέως ζῆν οὐκέτι παρείκει ἑκόντα γε ἀκολάστως ζῆν.* Ep. VI. 323. C: *ὅσον ἂν δυνώμεθα καὶ ἑκάστῳ παρείκῃ.*

πάρειμι, adsum; adveni vel *veni; intersum;* etiam dicitur in eo *quod paratum* est vel *suppetit, quod quis habet* al. Parm. 126. A: *πάρειμί γε ἐπ' αὐτὸ τοῦτο.* Tim. 20. C. Phaedr. 243. E: *οὗτος παρὰ σοὶ μάλα πλησίον ἀεὶ πάρεστιν.* 250. A: *αἷς τὸ τῆς μνήμης ἱκανῶς πάρεστιν.* Gorg. 498. D. Pol. I. 331. A: *τῷ ... μηδὲν ἑαυτῷ ἄδικον ξυνειδότι ἡδεῖα ἐλπὶς ἀεὶ πάρεστι.* Charm. 158. E: *εἴ σοι πάρεστι σωφροσύνη.* Gorg. 447. B: *ἐπ' αὐτό γέ τοι τοῦτο πάρεσμεν.* Id. Euthyd. 274. A. Theaet. 200. D: *πάλιν ἐπὶ τὴν πρώτην πάρεσμεν ἀπορίαν.* Prot. 317. E: *ἐπειδὴ καὶ οἵδε πάρεισι.* Apol. 33. D. Phil. 60. C: *ᾧ παρείη τοῦτ' ἀεὶ τῶν ζώων* cet. Pol. II. 362. D: *ἀδελφὸς ἀνδρὶ παρείη.* Lys. 217. D: *καὶ μὴν παρείη γ' ἂν αὐταῖς λευκότης.* Euthyd. 280. B: *εἰ ἡμῖν ἀγαθὰ πολλὰ παρείη.* Parm. 127. A: *ὧν ἕνεκα παρεῖμεν.* Conv. 200. E: *ὧν ἂν ἔνδεια παρῇ αὐτῷ.* Soph. 264. A. Prot. 335. B: *παρεῖναι ἐν ταῖς συνουσίαις.* Theaet. 166. B: *μνήμην παρεῖναι τῷ ὧν ἔπαθε.* Pol. VI. 509. B. Legg. III. 681. A. Polit. 272. B: *τόνδε (βίον) ... τὸν νυνὶ παρὸν αὐτὸς ᾑρήσαι.* Tim. 17. B. Legg. III. 699. C: *φόβος ὁ τότε παρών.* XI. 917. A: *ὅθεν ὁ νῦν παρὼν ἡμῖν λόγος ἐλήλυθε.* Phaedr. 272. A: *νῦν ἔργῳ παροῦσά οἱ (ἡ φύσις).* Legg. III. 683. C: *ἡ νῦν παροῦσα ἡμέρα.* Charm. 160. D. Legg. IX. 857. E: *εὐτυχὲς δὲ ἡμῖν τὸ παρὸν γέγονεν.* X. 900. B: *τὸ νῦν παρὸν δόγμα.* Phaedr. 244. A: *παρόντος ἐραστοῦ.* Parm. 141. E: *τοῦ νῦν παρόντος (χρόνου).* Conv. 217. C. Polit. 272. B: *παρούσης αὐτοῖς οὕτω πολλῆς σχολῆς καὶ δυνάμεως* cet. Pol. VI. 507. D: *παρούσης ... χρόας αὐτοῖς.* Conv. 200. E: *τοῦ μὴ παρόντος (ἐπιθυμεῖ).* Tim. 72. A: *παρόντος κακοῦ ἢ ἀγαθοῦ.* Phaed. 59. A: *παρόντι πένθει.* Tim. 26. E: *τῇ ... παρούσῃ τῆς θεοῦ θυσίᾳ.* Crit. 43. C: *τῇ παρούσῃ τύχῃ.* Phaed. 67. C: *ἐν τῷ νῦν παρόντι καὶ ἐν τῷ ἔπειτα.* Theaet. 158. B: *νῦν οὕτως ἐν τῷ παρόντι.* Conv. 176. E: *τὴν ἐν τῷ παρόντι συνουσίαν.* Menex. 240. C: *ἀγαπῶντες τὴν ἐν τῷ παρόντι σωτηρίαν.* Phaedr. 244. E: *πρός τε τὸν παρόντα καὶ τὸν ἔπειτα χρόνον.* Tim. 90. D. 48. C: *κατὰ τὸν παρόντα τρόπον τῆς διεξόδου.* Legg. VI. 752. C: *καὶ μετὰ τὸν τότε παρόντα χρόνον.* Pol. VI. 506. E: *κατὰ τὴν παροῦσαν ὁρμήν.* Legg. VI. 752. A: *κατὰ τὴν*

Digitized by Google

παροῦσαν ἡμῖν τὰ νῦν μυθολογίαν. Gorg. 499. C: τὸ παρὸν (*quod est*) εὖ ποιεῖν. Legg. XII. 959. C: τὸ δὲ παρὸν δεῖν εὖ ποιεῖν (*prudenter esse agendum*). Phil. 59. B: εἰς τὸ νῦν παρόν. Pol. VI. 487. C: εἰς τὸ παρὸν ἀποβλέψας. 503. B: πεφοβημένου κινεῖν τὸ νῦν παρόν. Legg. V. 736. A: πρὸς τὸ παρόν. VII. 799. D: καὶ τὸ παρὸν (*in praesentia, nunc*) ἡμῖν ὡσαύτως ποιητέον. Cf. III. 693. B. IV. 708. A. Pol. I. 344. D: οἱ παρόντες. Gorg. 458. B: τὸ τῶν παρόντων. Legg. VII. 810. E: ἐκ τῶν παρόντων λόγων. Conv. 193. C: τῶν νῦν παρόντων τὸ τούτου ἐγγυτάτω ἄριστον εἶναι. Pol. V. 467. B: παρόντων ὧν ἂν τέκῃ. Phil. 66. A: παροῦσι φράζων. Legg. VII. 799. E: τοῖς νόμοις τοῖς νῦν ἡμῖν παροῦσι. Gorg. 493. C: τοῖς ἀεὶ παροῦσιν ἱκανῶς καὶ ἐξαρκούντως ἔγοντα βίον ἑλέσθαι. Ax. 368. A: τοῖς παροῦσι χαλεπανεῖ. Phaed. 108. A: οὐκ ἀγνοεῖ τὰ παρόντα (*praesentem conditionem* vel *statum*). Theaet. 186. A: τὰ γεγονότα καὶ τὰ παρόντα πρὸς τὰ μέλλοντα. Critia 120. E: σμικρὰ ἡγοῦντο τὰ παρόντα. Gorg. 482. B: παρῆσθα ... καὶ αὐτὸς λεγομένοις. Ep. VII. 348. E. Prot. 321. C: ἤδη ... καὶ ἡ εἱμαρμένη ἡμέρα παρῆν. Theaet. 197. A. Critia 115. A: ξύμπασι παρῆν ἄδην. Legg. III. 679. B: ὃ τότε ἐν ἐκείνοις παρῆν. Conv. 194. C: παρῆμεν. 176. A: παρῆτε γὰρ χθές. Hipp. mai. 286. C: ἀλλ' ὅπως παρέσει καὶ αὐτὸς καὶ ἄλλους ἄξεις. Ax. 372. Parm. 144. D: οὐδαμῶς ἅμα ἅπασι τοῖς τῆς οὐσίας μέρεσι παρέσται. Alc. II. 150. D: πότε ... παρέσται ὁ χρόνος οὗτος —; Conv. 174. A: ὡμολόγησα δ' εἰς τήμερον παρέσεσθαι. Sis. 387. B. — Impers. παρεστι, *licet*. Gorg. 448. A: πάρεστι τούτου πεῖραν ... λαμβάνειν.

πάρειμι, *intro, ineo*. Phaed. 59. E: μὴ πρότερον παρεῖναι ἕως ἂν αὐτὸς κελεύσῃ. Legg. VIII. 830. C: εἰς τὸν μέγιστον τῶν ἀγώνων ἑκάστοτε τολμήσει παριέναι. **procedo*. Alc. I. 106. C: διανοεῖ ... παριέναι συμβουλεύσων Ἀθηναίοις cet. **praetereo*. Pol. VIII. 546. B: ἀλλὰ πάρεισιν (sensu futuri) αὐτοὺς (εὐγονία τε καὶ ἀφορία). VII. 515. B: τὴν παροῦσαν σκιάν. De lucri cup. 228. E: παριόντες ἄνω καὶ κάτω. Eryx. 392. D. Pol. VII. 515. B: ὁπότε τις τῶν παριόντων φθέγξαιτο. D. X. 616. A: τοῖς ἀεὶ παροῦσι σημαίνοντες. VII. 516. C: τῷ ὀξύτατα καθορῶντε τὰ παριόντα. Lach. 183. E: ἡ δὲ ναῦς τὴν ναῦν παρῇει. **praetermitto*. Legg. VI. 776. D: παριὼν τῷ λόγῳ.

παρεμβάλλω, *interpono*. Legg. V. 741. A: ἑκόντας ... οὐ δεῖ πολίτας παρεμβάλλειν νόθῃ παιδείᾳ πεπαιδευμένους.

παρεμπίπτω, *obrepo*. Charm. 173. D: παρεμπίπτουσαν τὴν ἀνεπιστημοσύνην.

παρεμφαίνω, *simul ostendo*. Tim. 50. E: τὴν αὐτοῦ παρεμφαῖνον ὄψιν.

πάρεξ, *praeter*. Epin. 976. E: ἑτέραν (ἐπιστήμην) πάρεξ τῶν εἰρημένων εὑρεῖν.

Digitized by Google

παρέξειμι, praetereo, omitto. Pol. VI. 503. A: *παρεξιόντος καὶ παρακαλυπτομένου τοῦ λόγου.*

παρεξέρχομαι, discedo. Phil. 66. B: *οὐκ ἂν μέγα τι τῆς ἀληθείας παρεξέλθοις.*

παρέπαινος, ὁ, laudatio subseciva. Phaedr. 267. A: *παρεπαίνους.*

παρεπιδημία, ἡ, peregrinatio. Ax. 365. B: *ὅτι ... παρεπιδημία τίς ἐστιν ὁ βίος.*

παρέπομαι, sequor, comitor, adhaereo. Theaet. 186. A: *τοῦτο ... μάλιστα ἐπὶ πάντων παρέπεται.* Soph. 266. B: *τούτων ... ἑκάστων εἴδωλα ... παρέπεται.* Alc. II. 145. C: *ἐὰν ... παρέπηται ἡ τοῦ βελτίστου ἐπιστήμη.* 146. B. Phaed. 89. A: *πρὸς τὸ παρέπεσθαι.* Legg. II. 667. B: *ξυμπάσῃ τροφῇ παρέπεσθαι ... τὴν χάριν.* D: *παρεπόμενον ἐὰν γίγνηται.* Theag. 128. D: *θεία μοῖρα παρεπόμενον ἐμοὶ ἐκ παιδὸς ἀρξάμενον δαιμόνιον.*

πάρεργος, ὁ ἡ, subsecivus; praec. neutr. *πάρεργον* in eo ponitur quod *ad ipsum opus* vel *institutum non pertinet;* etiam in eo quod *operis subsecivis* s. *obiter tractamus, leviter transimus* al. Tim. 38. D: *ὁ λόγος πάρεργος ὢν πλέον ἂν ἔργον ὢν ἕνεκα λέγεται παράσχοι.* Phaedr. 174. A: *ὅ τι μὴ πάρεργον.* Id. Pol. III. 411. E. VI. 498. C. Phaed. 91. A: *εἰ μὴ εἴη πάρεργον.* Polit. 286. D: *πλὴν εἰ μὴ πάρεργόν τι.* 302. B: *καίτοι πρός γε τὸ νῦν προτεθὲν ἡμῖν πάρεργον λεγόμενον.* Pol. II. 374. C: *μὴ ἐν παρέργου μέρει.* Theaet. 184. A: *εἴτε τις ἐν παρέργῳ σκέψεται.* Conv. 222. D: *ὡς ἐν παρέργῳ δὴ λέγων.* Pol. II. 374. C: *παρέργῳ χρώμενος.* Tim. 21. C: *εἴ γε ... μὴ παρέργῳ τῇ ποιήσει κατεχρήσατο.* Legg. VIII. 846. D: *οὐκ ἐν παρέργῳ δεόμενον ἐπιτηδεύειν.* VI. 766. A: *ὧν ἕνεκα οὐ δεύτερον οὐδὲ πάρεργον δεῖ τὴν παίδων τροφὴν τὸν νομοθέτην ἐὰν γίγνεσθαι.* VIII. 837. C: *ὁ ... πάρεργον ... τὴν τοῦ σώματος ἐπιθυμίαν ἔχων.* Pol. VI. 498. A: *πάρεργον οἰόμενοι αὐτὸ δεῖν πράττειν.* Tim. 51. C: *οὔτ' ἐπὶ λόγου μήκει πάρεργον ἄλλο μήκος ἐπεμβλητέον.* Legg. VII. 807. C: *πάρεργον γὰρ οὐδὲν δεῖ τῶν ἄλλων ἔργων διακώλυμα γίγνεσθαι* cet. Ep. VI. 323. A: *μὴ πάρεργον ἡγουμένῳ.* Theaet. 177. B: *ἐπειδὴ καὶ πάρεργα τυγχάνει λεγόμενα.* Pol. VII. 527. C: *καὶ γὰρ τὰ πάρεργα αὐτοῦ (τῆς γεωμετρίας) οὐ σμικρά.* Euthyd. 273. D: *εἰ τηλικαῦτα πράγματα πάρεργα ὑμῖν τυγχάνει ὄντα.* Ep. VII. 330. C: *ἵνα μὴ τὰ πάρεργα ὡς ἔργα μοι ξυμβαίνῃ λεγόμενα.* Euthyd. 273. D: *παρέργοις αὐτοῖς χρώμεθα.*

παρέργως, leviter, negligenter. Legg. VII. 793. E: *ταῦτα εἴ τις ἀκριβῶς ἀποτελοῖ καὶ μὴ παρέργως τοῖς εἰρημένοις χρῷτο.*

παρέρχομαι, praetereo, antecedo. Parm. 152. A: *μετὰ τοῦ παρεληλυθότος (χρόνου).* Prot. 324. B: *οὐ τοῦ παρεληλυθότος ἕνεκα ἀδικήματος τιμωρεῖται.* Phaed. 100. B: *ἐν*

Digitized by Google

τῷ παρεληλυθότι λόγῳ. Pol. VI. 499. C: ἐν τῷ ἀπείρῳ τῷ παρεληλυθότι χρόνῳ. Soph. 235. C: κατὰ τὸν παρεληλυθότα τρόπον τῆς διαιρέσεως. Lach. 188. A: ὄντινα τὸν παρεληλυθότα βίον βεβίωκεν. Pol. VII. 534. A: οἱ παρεληλυθότες (λόγοι). Tim. 47. E: τὰ ... παρεληλυθότα τῶν εἰρημένων. Phaedr. 231. B: οὔτε τοὺς παρεληλυθότας πόνους ὑπολογίζεσθαι. Phil. 36. D: εἰ πρὸς τὰ παρεληλυθότα ... προσήκοντα. Theag. 129. D. Phaedr. 242. A: μήπω γε ... πρὶν ἂν τὸ καῦμα παρέλθῃ. Parm. 152. C: εἰ ... ἀνάγκη μὴ παρελθεῖν τὸ νῦν πᾶν τὸ γιγνόμενον. Phil. 19. B: ὡς ὁ παρελθὼν λόγος ἐμήνυσεν. Pol. VIII. 561. B: τοῦ πολλοῦ θορύβου παρελθόντος. Prot. 310. A: τῆς παρελθούσης νυκτὸς ταυτησί. Tim. 72. A: παρελθόντος ... κακοῦ ἢ ἀγαθοῦ. Phaed. 60. E: ἐν τῷ παρελθόντι βίῳ. Id. 67. B. Polit. 270. E: πάλιν ἐπὶ τὴν παρελθοῦσαν ὥραν ἕκαστον καθίστασαν. *praetereo, praetermitto; negligo. Alc. I. 130. C: ὃ νῦν δὴ παρῆλθομεν διὰ τὸ πολλῆς εἶναι σκέψεως. Phaed. 278. E: οὐδὲ γὰρ οὐδὲ τὸν σὸν ἑταῖρον δεῖ παρελθεῖν. Pol. X. 620. B: οὐ δύνασθαι παρελθεῖν, ἀλλὰ λαβεῖν. *transeo. Euthyd. 300. B: εἴ γε (codd. ἤγε et ἦγε) ἐγὼ ... παρέρχομαι ἐν τοῖς καλκείοις. Alc. I. 123. B: ὃς ἔφη παρελθεῖν χώραν πάνυ πολλὴν καὶ ἀγαθήν. *accedo; prodeo vel procedo. Alc. I. 105. A: ἐὰν θᾶττον εἰς τὸν Ἀθηναίων δῆμον παρέλθῃς. Phaedr. 273. D: πρὶν καὶ σὲ παρελθεῖν. Alc. I. 105. B: παρελθών. Cum v. εἶσω est *intro*. Alc. II. 144. A: παρελθὼν εἴσω.

παρέχω, *praebeo, affero, inicio, excito; exhibeo; adhibeo; dedo; suppedito*; etiam *admitto*. Apol. 33. B: καὶ πλουσίῳ καὶ πένητι παρέχω ἐμαυτὸν ἐρωτᾶν. Prot. 349. E: ὡς καλοῦ ὄντος αὐτοῦ σὺ διδάσκαλον σαυτὸν παρέχεις; 353. D: ὅτι τὴν ἡδονὴν ταύτην ἐν τῷ παρὰ χρῆμα παρέχει. Phaedr. 233. B: ἃ μὴ λύπην τοῖς ἄλλοις παρέχει. Phaed. 66. C: πολέμους καὶ στάσεις καὶ μάχας οὐδὲν ἄλλο παρέχει ἢ τὸ σῶμα cet. Theaet. 174. C: γέλωτα παρέχει ... καὶ τῷ ἄλλῳ ὄχλῳ. Soph. 246. A: ὃ παρέχει προσβολὴν καὶ ἐπαφήν τινα. Conv. 179. B: τοῦτο ὁ Ἔρως τοῖς ἐρῶσι παρέχει γιγνόμενον παρ' αὐτοῦ. Legg. IV. 718. E: ὡς ἡ ... ἐπὶ τὴν κακότητα ὁδὸς λεία καὶ ἀνιδιὶ παρέχει πορεύεσθαι. Menex. 248. B: ἡμᾶς αὐτοὺς νῦν παρέχομεν τοιούτους. Pol. VIII. 544. B: πάλιν ... τὴν αὐτὴν λαβὴν πάρεχε. Legg. VI. 760. B: φυλὴ δὲ μία ... παρεχέτω πέντε οἷον ἀγρονόμους cet. IX. 865. C: ἀβλαβῆ παρεχέτω. XII. 954. B: τὰ μὲν ἀσήμαντα παρεχόντων οἱ ἐνοικοῦντες ἐρευνᾶν. Tim. 71. C: λύπας ... παρέχοι. Legg. X. 904. B. Theaet. 143. B: ἵνα ... ἐν τῇ γραφῇ μὴ παρέχοιεν πράγματα αἱ μεταξὺ τῶν λόγων διηγήσεις. Tim. 84. D: ὅταν ... πλεύμων μὴ καθαρὰς παρέχῃ τὰς διεξόδους cet. Pol. VIII. 562. D: ἂν μὴ ... πολλὴν παρέχωσι τὴν ἐλευθερίαν. Phaedr. 228. E: ἐμαυτόν σοι ἐμμελετᾶν παρέχειν (nos: *mich herzugeben*) οὐ πάνυ δέδοκται. Phaed.

Digitized by Google

115. A: *μὴ πράγματα ταῖς γυναιξὶ παρέχειν.* Conv. 217. A: *εἰ ἐθέλοιμι παρέχειν τὰ ὦτα.* Legg. VII. 799. B: *δίκας ἀσεβείας ... τῷ ἐθελήσαντι παρέχειν.* Euth. 3. D: *σὺ μὲν δοκεῖς σπάνιον σεαυτὸν παρέχειν.* Menex. 247. B: *παρέχειν ἑαυτὸν τιμώμενον μὴ δι' ἑαυτόν, ἀλλὰ διὰ δόξαν προγόνων.* Men. 95. A: *παρέχειν αὐτοὺς διδασκάλους τοῖς νέοις.* Prot. 312. A: *εἰς τοὺς Ἕλληνας σαυτὸν* (v. *αὐτὸν*) *σοφιστὴν παρέχων.* Pol. III. 413. E: *εὐάρμοστον ἑαυτὸν ἐν πᾶσι τούτοις παρέχων.* Men. 70. C: *αὐτὸς παρέχων αὑτὸν ἐρωτᾶν τῶν Ἑλλήνων τῷ βουλομένῳ* cet. Tim. 73. A: *παρέχουσα ἀπληστίαν.* Euthyd. 291. B: *εἰ αὐτὴ εἴη ἡ τὴν εὐδαιμονίαν παρέχουσα.* Gorg. 477. C: *λύπην μεγίστην παρέχον.* Soph. 266. C: *ὄψεως ἐναντίαν αἴσθησιν παρέχον.* Tim. 87. E: *πολλὰ ... σπάσματα ... παρέχον.* Polit. 288. D: *τὸ ... πᾶσι τούτοις σώματα παρέχον.* Pol. VI. 508. E: *τὸ τὴν ἀλήθειαν παρέχον τοῖς γιγνωσκομένοις.* VII. 540. A: *τὸ πᾶσι φῶς παρέχον.* Tim. 71. B: *οἷον ἐν κατόπτρῳ ... κατιδεῖν εἴδωλα παρέχοντι.* Legg. VI. 761. C: *λουτρὰ Θερμιὰ παρέχοντας.* Crat. 396. D: *παρεῖχον τὰ ὦτα.* Phaedr. 250. D: *δεινοὺς γὰρ ἂν παρεῖχεν ἔρωτας* cet. Tim. 43. B: *ὃ τὴν τροφὴν παρεῖχεν.* Legg. VII. 788. D: *ὥστε καὶ ἔριν πολλοῖς παρέσχηκε μὴ γίγνεσθαι τά γ' ἀνθρώπινα μήκη διπλάσια* cet. Hipp. mai. 295. A: *ὅσα πράγματα ἡμῖν ἤδη παρέσχηκε.* Ep. VII. 329. B: *τῆς φιλοσόφου ἀνέγκλητον μοίρας παρέσχον* (*ἐμαυτόν*). Prot. 339. E: *πολλοῖς θόρυβον παρέσχε καὶ ἔπαινον τῶν ἀκουόντων.* Pol. IV. 433. B: *ὃ πᾶσιν ἐκείνοις τὴν δύναμιν παρέσχεν.* Ion. 530. C: *ἐμοὶ γοῦν τοῦτο πλεῖστον ἔργον παρέσχε τῆς τέχνης.* Tim. 80. B: *ὅθεν ἡδονὴν ... τοῖς ἄφροσιν ... παρέσχον.* Pol. V. 450. B: *μὴ παράσχοι πολὺν ὄχλον.* VII. 517. A: *ἆρ' οὐ γέλωτ' ἂν παράσχοι —;* Tim. 38. E. Legg. XI. 919. A: (*ὁπόταν*) *οὐχ ὡς ἑταίρους δεξάμενος φιλικὰ παράσχῃ ξένια.* Charm. 157. B: *ὃς ἂν μὴ τὴν ψυχὴν πρῶτον παράσχῃ τῇ ἐπῳδῇ ὑπὸ σοῦ θεραπευθῆναι.* Prot. 312. C: *ὅτι μέλλεις τὴν ψυχὴν τὴν σαυτοῦ παρασχεῖν θεραπεῦσαι ἀνδρί.* Theaet. 169. C: *οὐ μέντοι περαιτέρω γε ὧν προτίθεσαι οἷός τ' ἔσομαι παρασχεῖν ἐμαυτόν σοι.* Pol. I. 344. D: *παρασχεῖν τῶν εἰρημένων λόγον.* III. 405. C: *ὥστε μὴ παρασχεῖν δίκας.* Critia 109. A: *ἄπορον πηλὸν ... κωλυτὴν παρασχεῖν.* Legg. VII. 806. B: *φόβον ... πολεμίοισι ... παρασχεῖν.* Charm. 157. C. Legg. XI. 919. A: *εὐδιεινὴν γαλήνην παρασχών.* IX. 854. E: *τὸν τὴν δίκην παρασχόντα.* Phaedr. 275. A: *λήθην ... ἐν ψυχαῖς παρίξει.* Legg. IX. 869. B: *παρίξει νόμος οὐδεὶς κτεῖναι τὸν πατέρα ἢ μητέρα.* Menex. 247. E: *ὑποψίαν παρέξουσιν.* Tim. 74. C: *ψῦχος κατὰ πᾶν τὸ σῶμα παρίξειν οἰκεῖον.* Menex. 245. C: *εἰ μέλλοι χρήματα παρέξειν.* Ax. 370. A: *ἐπὶ τῷ μὴ παρέξοντι γνῶσιν.* Med. *affero, praebeo, adhibeo; excito;* etiam *mihi comparo.* Apol. 19. D: *μαρτύρας ... παρ-*

πονηρία, ἡ, pravitas; in animo pos. *improbitas.* Soph. 228. D: *τὸ μὲν (κακὸν) πονηρία καλούμενον ὑπὸ τῶν πολλῶν, νόσος αὐτῆς (τ. ψυχῆς) σαφέστατα ὄν.* III. 409. D: *πονηρία ... ἀρετήν τε καὶ αὐτὴν οὔποτ' ἂν γνοίη.* X. 609. A. C: *ἡ σώματος πονηρία νόσος οὖσα.* 610. A. Hipp. min. 374. C: *χωλεία δὲ ποδῶν οὐχὶ πονηρία καὶ ἀσχημοσύνη ἐστί;* D: *πονηρία ὀφθαλμῶν.* Gorg. 478. D: *ἰατρικὴ γίγνεται πονηρίας ἡ δίκη.* Phaed. 90. A: *εἰ πονηρίας ἀχὼν προτεθείη.* Pol. V. 449. A: *ἐν τέτταρσι πονηρίας εἴδεσιν οὔσας.* X. 609. C. E: *ὑπὸ τῆς τῶν στίων πονηρίας.* Legg. II. 656. A: *τῷ καίροντι πονηρίας ἢ σχήμασιν ἢ μέλεσιν.* Euth. 12. C: *δόξαν πονηρίας.* Phil. 45. E: *ἔν τινι πονηρίᾳ ψυχῆς καὶ τοῦ σώματος, ἀλλ' οὐκ ἐν ἀρετῇ.* Pol. IX. 575. C: *πονηρία τε καὶ ἀθλιότητι πόλεως.* Prot. 326. C: *διὰ τὴν πονηρίαν τῶν σωμάτων.* 327. D: *ποθῶν τὴν τῶν ἐνθάδε ἀνθρώπων πονηρίαν.* Gorg. 477. B: *οὐκοῦν καὶ ἐν ψυχῇ πονηρίαν ἡγεῖ τινὰ εἶναι;* Theaet. 176. B: *πονηρίαν μὲν φεύγειν, ἀρετὴν δὲ διώκειν.* Soph. 228. B: *νόσον τῆς ψυχῆς (τὴν τῆς ψυχῆς?) πονηρίας λέγοντες.* Pol. I. 342. B: *ἐπὶ τὴν αὐτῆς πονηρίαν.* Legg. I. 646. B: *τί δὲ σώματος ... εἰς πονηρίαν;* Apol. 39. A.

πονηρός, ά, όν, pravus, malus, male affectus; falsus; inutilis (schädlich); improbus. Phaedr. 254. E: *ὁ πονηρὸς (ἵππος).* Conv. 183. D: *πονηρὸς δ' ἔστιν ἐκεῖνος ὁ ἐραστὴς ὁ πάνδημος.* Pol. I. 334. D: *πονηρὸς ... ὁ λόγος.* 335. A: *ἐχθρὸς δὲ ὁ πονηρός.* Euthyd. 298. D: *μάλα πονηρός (κύων).* Gorg. 457. A: *οὔτε πονηρὰ (ἡ τέχνη) ... ἐστίν.* Legg. III. 701. B: *ἡ πονηρὰ ἀναισχυντία.* 735. B: *πονηρὰ τροφή.* Hipp. min. 376. A: *ἡ ... πονηρά (ψυχή).* Prot. 313. D: *ὅ τι χρηστὸν ἢ πονηρὸν περὶ τὸ σῶμα.* Pol. I. 341. E: *ὅτι σώματά ἐστι πονηρόν.* Gorg. 516. A: *ὡς πονηροῦ ὄντος.* Pol. IV. 425. E: *οὐκ ἐθέλοντας ... ἐκβῆναι πονηρᾶς διαίτης.* Ep. VII. 343. C: *ὑπὸ πονηρᾶς τροφῆς.* Conv. 183. D: *πονηρῷ ... χαρίζεσθαι.* Lys. 214. B. Theaet. 167. A: *πονηρᾷ ψυχῆς ἕξει.* Gorg. 469. E: *τὸν ... ἄδικον καὶ πονηρὸν ἄθλιον (εἶναί φημι).* Legg. I. 639. B. Hipp. mai. 291. E: *πονηρόν γ' ... γέλωτα.* Theaet. 150. E: *διὰ πονηρὰν ξυνουσίαν.* Phil. 37. D: *πονηρὰν ... δόξαν, πονηρὰν ... καὶ ἡδονήν.* Pol.

Digitized by Google

VIII. 551. C: *πονηρὰν ... τὴν ναυτιλίαν αὐτοὺς ναυτίλλεσθαι.* Tim. 86. D: *διὰ ... πονηρὰν ἕξιν τινὰ τοῦ σώματος.* Prot. 313. A: *ἢ χρηστὸν αὐτὸ (τὸ σῶμα) γενέσθαι ἢ πονηρόν.* Pol. X. 609. A: *πονηρόν τε ποιεῖ ᾧ προσεγένετο* cet. Phil. 40. C: *ψευδέσιν ... ἡδοναῖς τὰ πολλὰ οἱ πονηροὶ χαίρουσιν.* Pol. I. 334. E: *πονηροὶ γὰρ αὐτοῖς εἰσί.* Legg. XII. 950. B: *οἱ πονηροὶ καὶ ἄχρηστοι.* Gorg. 599. E: *αἱ δὲ (λῦπαι) πονηραί.* Prot. 334. A: *ταῖς δὲ βλάσταις πονηρά* (opp. *ἀγαθά*). Conv. 205. E: *ἐὰν αὐτοῖς δοκῇ τὰ ἑαυτῶν πονηρὰ εἶναι.* De lege 314. E: *τὰ δὲ πονηρά (δόγματα).* Pol. VII. 519. A: *τῶν λεγομένων πονηρῶν μέν, σοφῶν δέ.* X. 601. E: *περὶ χρηστῶν καὶ πονηρῶν αὐλῶν.* Legg. I. 627. C: *νικώντων ... τῶν πονηρῶν.* Theaet. 167. B: *ἀντὶ πονηρῶν αἰσθήσεων.* Pol. VIII. 561. C: *τῶν πονηρῶν (ἐπιθυμιῶν).* Gorg. 464. D: *περὶ τῶν χρηστῶν σιτίων καὶ πονηρῶν.* Pol. VI. 499. B: *τοῖς φιλοσόφοις τούτοις τοῖς ὀλίγοις καὶ οὐ πονηροῖς.* III. 409. A: *ἐν πονηραῖς ψυχαῖς τεθράφθαι.* I. 334. C: *οὓς δ' ἂν πονηρούς (ἡγῆται).* III. 396. A: *πονηροὺς ἄνδρας τε καὶ γυναῖκας.* Crat. 431. D: *πονηράς (εἰκόνας).* Phil. 40. E: *πονηρὰς δόξας καὶ χρηστάς.* Hipp. min. 374. E. B: *ὅταν κατὰ τὸ σῶμα πονηρὰ ἐργάζηται.* Ib. *τὰ αἰσχρὰ καὶ πονηρὰ σχήματα σχηματίζειν.* Pol. IX. 591. A: *ἐξ ὧν πονηρότερος ... ἔσται.* B. Hipp. min. 375. B: *ψυχὴ ... ἀκουσίως ἁμαρτάνουσα πονηροτέρα ἢ ἑκουσίως.* C. Pol. I. 347. C: *τὸ ὑπὸ πονηροτέρου ἄρχεσθαι.* Hipp. min. 272. E: *πονηροτέρους.* Pol. IV. 421. D: *τὰ ... ἔργα πονηρότερα ἐργάσεται.* IX. 576. B: *ὃς ἂν φαίνηται πονηρότατος.* Legg. I. 646. A. Gorg. 520. A: *ὡς πονηροτάτης (τῆς πόλεως).* Pol. IX. 579. E: *κόλαξ τῶν πονηροτάτων.* III. 408. D: (*ὡς*) *πονηροτάτοις σώμασιν.*

πονηρῶς, male, improbe. Conv. 183. D: *πονηρῷ τε καὶ πονηρῶς χαρίζεσθαι.*

πόνος, ὁ, labor; aerumna; molestia; contentio. Phaedr. 247. B: *ἔνθα δὴ πόνος τε καὶ ἀγὼν ἔσχατος ψυχῇ πρόκειται.* Pol. VII. 535. B. Tim. 40. D: *μάταιος ἂν εἴη πόνος.* Legg. IV. 717. A: *μάτην ... περὶ θεοὺς ὁ πολὺς ἐστι πόνος τοῖς ἀνοσίοις.* Epin. 991. C: *ματαιότατος πόνος ἁπάντων.* Soph. 230. A: *μετὰ ... πολλοῦ πόνου.* Ep. VII. 329. A: *τὸ μέγεθος ... τοῦ πλοῦ καὶ τοῦ πόνου.* Phil. 56. A: *μελέτῃ καὶ πόνῳ.* Conv. 197. D: *ἐν πόνῳ, ἐν φόβῳ* cet. Tim. 81. D. Phaedr. 248. B: *πολὺν ἔχουσαι πόνον.* Pol. III. 369. E: *χρόνον τε καὶ πόνον ἀναλίσκειν ἐπὶ σίτου παρασκευῇ.* VII. 526. C: *ἃ γε μείζω πόνον παρέχει μανθάνοντι.* Conv. 210. E: *οἱ ἔμπροσθεν πάντες πόνοι.* Pol. VII. 536. D: *νέων ... πάντες οἱ μεγάλοι καὶ οἱ πολλοὶ πόνοι.* Legg. IX. 881. A: *οἱ ... ἐν Ἅιδου τούτοισι λεγόμενοι πόνοι.* Alc. II. 142. B: *οἱ κίνδυνοί τε καὶ πόνοι.* Phaedr. 239. C: *πόνων ... ἀνδρείων ... ἄπειρον.* 244. D: *νόσων ... καὶ πόνων*

Digitized by Google

τῶν μεγίστων. Polit. 294. E: πάντων τῶν κατὰ τὰ σώματα πόνων. Pol. X. 619. D: ἅτε πόνων ἀγυμνάστους. Legg. II. 653. D: ἀναπαύλας ... τῶν πόνων. VIII. 835. D: πόνων ... σφοδρῶν καὶ ἀνελευθέρων ... ἀργοί. Epin. 973. D: διὰ πόνων μυρίων ταῦτα γίγνεσθαι ξύμπαντα. Menex. 238. A: πόνων ἀρωγήν. Ep. VIII. 353. C: ἄνευ μεγάλων κινδύνων καὶ πόνων. Conv. 219. E: τοῖς πόνοις οὐ μόνον ἐμοῦ περιῆν cet. Pol. VI. 503. A: μήτ' ἐν πόνοις μήτ' ἐν φόβοις cet. E. Legg. II. 654. E. Phaedr. 231. B: οὔτε τοὺς παρελθόντας πόνους ὑπολογίζεσθαι. Conv. 208. D: πόνους πονεῖν οὐστινασοῦν. Pol. II. 365. B: πόνους δὲ καὶ ζημίας φανεράς. III. 410. B: αὐτὰ ... τὰ γυμνάσια καὶ τοὺς πόνους. VIII. 561. A: ἀναλίσκων καὶ χρήματα καὶ πόνους καὶ διατριβάς. Legg. I. 646. C: τοὺς ἐπὶ τὰ γυμνάσια καὶ πόνους ἰόντας. Apol. 22. A: ὥσπερ πόνους τινὰς πονοῦντος. Ax. 366. D: πολλοὺς πόνους διαντλῆσαν.

πόντος, ὁ, *mare*. Pol. X. 611. E: ἐκκομισθεῖσα ἐκ τοῦ πόντου. Ep. II. 312. D. Tim. 25. A: ἐπὶ τὴν ... ἤπειρον τὴν κατὰ τὸν ἀληθινὸν ἐκεῖνον πόντον.

πονῶ, *laboro; sustineo* vel *exantlo*; etiam *affligor, conficior, fatisco*. Pol. VII. 531. A: ἀνήνυτα ... πονοῦσι. III. 411. C: ἂν ... γυμναστικῇ πολλὰ πονῇ. Phaed. 88. A: μὴ οὐ πονεῖν αὐτὴν ἐν ταῖς πολλαῖς γενέσεσι. Conv. 208. C: πόνους πονεῖν. Soph. 218. A: ἂν δ' ἄρα τι τῷ μήκει πονῶν ἄχθῃ. Pol. VI. 486. C. Tim. 70. D: πονοῦσα ἧττον. Pol. V. 462. D: πονοῦντος μέρους. Ib. μέρους πονήσαντος. III. 410. B: αὐτὰ ... τὰ γυμνάσια καὶ τοὺς πόνους ... πονήσει cet. VII. 531. D: οὐκ ἀπόνητα πονεῖσθαι. 536. E: οἱ ... τοῦ σώματος πόνοι βίᾳ πονούμενοι. Phaedr. 232. A: ὅτι οὐκ ἄλλως αὐτοῖς πεπόνηται. Med. *elaboro, operam do*. Phil. 58. E: ὅσαι περὶ ταῦτα πεπόνηνται. — Verb. Pol. VI. 504. D: οὐχ ἧττον μανθάνοντι πονητέον ἢ γυμναζομένῳ.

πόπανον, τὸ, *libum*. Pol. V. 455. C: τὴν τῶν ποπάνων ... θεραπείαν.

πόποι (ῶ), exclamatio. Pol. III. 386. D. (Hom.).

ποππύζω, *blandior, faveo*. Ax. 368. D: εἰ ποππυσθείη καὶ κροτηθείη.

πορεία, ἡ, *profectio, migratio*; *cursus; iter, via*. Phaed. 107. E: ἔστι ... ἡ πορεία οὐχ ὡς ... λέγει. Crat. 437. C: ἡ ... τοῦ ἅμα θεῷ ἰόντος πορεία φαίνεται. Ep. VII. 337. E: ἡ ... ὑστέρα πορεία. Def. 411. B: ἡλίου πορεία. Phaedr. 256. D: τῆς ὑπουρανίου πορείας. Phaed. 107. D: ἐν ἀρχῇ τῆς ἐκεῖσε πορείας. Polit. 265. B: μεσοῦσιν ἅμα τῆς πορείας. 274. A: αὐτοκράτορα εἶναι τῆς αὐτοῦ πορείας (de mundo). Pol. VII. 532. E: τέλος τῆς πορείας. X. 614. E: ὥσπερ ἐκ πολλῆς πορείας φαίνεσθαι ἥκειν. Legg. VII. 799. D: τὴν σκέψιν τῆς πορείας ὅπῃ ποτὲ φέρει. Phaedr. 270. E: ἔοικοι ἂν ὥσπερ τυφλοῦ πορείᾳ. Crat. 412. D: τὸ πᾶν εἶναι ἐν

Digitized by Google

πορείᾳ. 420. E: *τῇ κατὰ τὰ ἄγκη πορείᾳ.* Pol. X. 615. A: *ἐν τῇ ὑπὸ γῆς πορείᾳ.* 612. D: *ἐν τῇ χιλιετεῖ πορείᾳ.* Phaedr. 256. D: *(εἰς) τὴν ὑπὸ γῆς πορείαν.* Phaed. 115. A: *οὕτω περιμένει τὴν εἰς Ἅιδου πορείαν.* Pol. VII. 532. B: *οὐ διαλεκτικὴν ταύτην τὴν πορείαν καλεῖς;* X. 615. A: *εἶναι ... τὴν πορείαν χιλιετῆ.* Legg. I. 625. A: *κατὰ τὴν πορείαν.* Epin. 982. E: *πορείαν ... καὶ χορείαν.* Menex. 236. D. Pol. VII. 526. D: *ἐν αὐταῖς τε ταῖς μάχαις καὶ πορείαις.* VIII. 556. C: *ἐν ὁδῶν πορείαις.* Ep. XI. 358. E. **incessus.* Conv. 190. B: *ἡ πορεία αὐτῶν.* Tim. 45. A: *θεοὶ ταύτῃ τὸ πολὺ τῆς πορείας ἡμῖν ἔδοσαν.* Polit. 266. B: *εἰς τὴν πορείαν.*

πορεῖον, τὸ, vehiculum. Legg. III. 678. C: *πορεία ... ὥστ' ἐπ' ἀλλήλους τότε πορεύεσθαι κατὰ γῆν ἢ κατὰ θάλατταν ... πάντα σχεδὸν ἀπολώλει.* Tim. 44. E: *θεοῦ μηχανησαμένου πορεῖα* (v. *πορείαν*) cet.

πορεύσιμος, ὁ ἡ, navigabilis. Tim. 24. E: *τότε ... πορεύσιμον ἦν τὸ ἐκεῖ πέλαγος.* Act. *qui proficisci* vel *meare potest.* Epin. 981. D: *ὅσα πορεύσιμα καὶ ὅσα μόνιμα.*

πόρευσις, ἡ, progressio. Def. 411. A: *πόρευσις εἰς τὸ εἶναι.*

πορεύω, traduco. Phaed. 107. E: *ᾧ ... προστέτακται τοὺς ἐνθένδε ἐκεῖσε πορεῦσαι.* Intrans. *procedo.* Legg. X. 893. D: *ἅμα μεγάλοις καὶ ... σμικροῖς κύκλοις βραδυτῆτάς τε καὶ τάχη ὁμολογούμενα πορεύουσα.* Med. *proficiscor, migro; feror; pergo; procedo, progredior; incedo;* etiam *discedo; aggredior.* Phaedr. 227. A: *πορεύομαι ... πρὸς περίπατον ἔξω τείχους.* Phaed. 67. B: *οἷ ἐγὼ πορεύομαι.* Alc. II. init. *ἆρά γε πρὸς τὸν θεὸν προσευξόμενος πορεύει;* Phaedr. 246. E: *πρῶτος πορεύεται.* Crat. 412. C: *ἐπειδὴ ... πορεύεται τὰ ὄντα.* Phaedr. 254. B: *πορεύεσθον ἀγομένω.* Soph. 222. A. Polit. 290. D: *ἐφ' ὃ πορευόμεθα.* Legg. XI. 923. B: *πορεύεσθε.* Phaed. 82. D: *οὐ κατὰ ταὐτὰ πορεύονται αὐτοῖς.* Soph. 252. C. Legg. VII. 789. C. Menex. 236. D: *ὧν τυγόντες πορεύονται τὴν εἱμαρμένην πορείαν.* Crat. 440. E: *νῦν δὲ ... πορεύου εἰς ἀγρόν.* Legg. XII. 952. B: *πορεύεσθω.* Tim. 63. A: *εἰ καὶ περὶ αὐτὸ πορεύοιτό τις ἐν κύκλῳ.* Polit. 259. D: *οὐκοῦν πορευοίμεθ' ἂν ἑξῆς —;* Pol. VIII. 555. B. Legg. XI. 923. B: *ὑμεῖς ... πορεύεσθε.* Tim. 82. C: *ὅταν ἀνάπαλιν ἡ γένεσις τούτων πορεύηται.* Phil. 31. B: *ταύτῃ πορευώμεθα.* Legg. VI. 779. D: *πορευώμεθα ἐπὶ τὰ μετὰ τοὺς γάμους.* XII. 965. C. Pol. V. 458. A: *ὅταν μόνοι πορεύωνται.* Phaedr. 279. B: *πορεύεσθαι (discedere).* Gorg. 448. C: *πορεύεσθαι κατὰ τέχνην.* Soph. 246. A: *πορεύεσθαι ... ἐπὶ τούτους.* 253. B: *διὰ τῶν λόγων πορεύεσθαι.* Polit. 270. A: *ὥστε ἀνάπαλιν πορεύεσθαι πολλὰς περιόδων μυριάδας.* Crat. 415. C: *τῷ ἰέναι καὶ πορεύεσθαι.* Legg. VII. 812. A: *ἐκτὸς πορεύεσθαι τῶν ὑποτεθέντων λόγων.*

Digitized by Google

Pol. VIII. 563. B: *εἰς ἀγρὸν πορευόμενος.* Ep. VII. 330. D: *κατὰ τρόπον ὀρθῇ πορευομένης ὁδῷ τῆς πολιτείας.* Phil. 23. B: *ἐπὶ τὰ δευτερεῖα ὑπὲρ νοῦ πορευόμενον.* Polit. 269. C: *τὸ πᾶν τόδε ... πορευόμενον.* Tim. 24. E: *δύναμιν ὕβρει πορευομένην ... ἐπὶ πᾶσαν Εὐρώπην καὶ Ἀσίαν.* Pol. IV. 420. B: *τὸν αὐτὸν οἶμον ... πορευόμενοι.* Tim. 53. D: *κατὰ τὸν μετ' ἀνάγκης εἰκότα λόγον πορευόμενοι.* 39. D: *δι' οὐρανοῦ πορευόμενα* (*ἄστρα*). Legg. VI. 763. D: *εἰς τὰς κρήνας ἱκανὰ καὶ καθαρὰ πορευόμενα.* Pol. VI. 506. C: *ὁδὸν ὀρθῶς πορευομένων.* Phaedr. 256. D: *μετ' ἀλλήλων πορευομένους.* Prot. 310. D: *δεῦρο ἐπορευόμην.* Phaedr. 228. B: *ἐπορεύετο δ' ἐκτὸς τείχους.* Conv. 190. A: *ἐπορεύετο ... ὀρθόν.* Prot. 314. C: *ἐπορευόμεθα.* Polit. 266. C: *ξύνδρομα πεπορευμένος τῷ τῶν ἀνδρῶν ... πρὸς τὸν εὐχερῆ βίον ἄριστα γεγυμνασμένῳ.* Legg. XI. 924. E: *ὡσαύτως ... τὸ γένος ἀεὶ πορευέσθω κατ' ἀγχιστείαν.* Tim. 69. A: *ταχύ τε εἰς ταὐτὸν πορευθῶμεν.* Polit. 265. A: *ταύτην* (*ὁδὸν*) *πορευθῆναι.* Tim. 84. E: *ἔξω πορευθῆναι.* Legg. V. 730. A. Pol. II. 365. B: *πῇ πορευθεὶς τὸν βίον ὡς ἄριστα διέλθοι.* Tim. 21. E: *οἱ ... πορευθεὶς* cet. 42. B. Phaed. 113. D: *πορευθέντες ἐπὶ τὸν Ἀχέροντα.* Clit. 410. C: *διὰ ταῦτα ... καὶ πρὸς Θρασύμαχον ... πορεύσομαι καὶ ἄλλοσε* cet. Phaed. 115. A: *ὑμεῖς ... πορεύσεσθε.* Conv. 190. D: *ὥστ' ἐφ' ἑνὸς πορεύσονται σκέλους.* Phaed. 115. A: *ὡς πορευσόμενος.* — Verb. Pol. V. 452. C: *πορευτέον πρὸς τὸ τραχὺ τοῦ νόμου.* Legg. XII. 968. B: *ταύτῃ πορευτέον ἥπερ καὶ ὁ θεὸς ἡμᾶς σχεδὸν ἄγει.* Epin. 992. A.

πορθμεύω, transvehor. Ax. 371. B: *οὓς* (*ποταμοὺς*) *χρὴ πορθμεύσαντας ἀχθῆναι ἐπὶ Μίνω* cet.

πορθμός, ὁ, fretum. Ep. VII. 345. D: *εἰς τὸν πορθμὸν τὸν περὶ τὴν Σκύλλαν.*

πορθῶ, vasto. Legg. VII. 806. B: *ὡς πορθουμένης ... τῆς πατρίδος.*

πορίζω, suppedito, praebeo, comparo; efficio, procreo. Phaedr. 275. A: *σοφίας ... τοῖς μαθηταῖς δόξαν, οὐκ ἀλήθειαν πορίζεις.* Legg. I. 631. B: *ἅπαντα γὰρ τὰ ἀγαθὰ πορίζουσι.* V. 740. D: *πορίζετω μηχανὴν ὅτι μάλιστα ὅπως* cet. VI. 752. D: *εἴ πῃ τινα πόρον ἱκανὸν πορίζοιμεν ἂν κατὰ τάδε.* Phaedr. 273. A: *τοῦτο ... τὴν ἅπασαν τέχνην πορίζειν.* Legg. III. 679. B. Charm. 157. B. Prot. 321. B: *σωτηρίαν τῷ γένει πορίζων.* Conv. 197. D: *πραότητα ... πορίζων.* Legg. III. 695. D. II. 655. D: *μουσικῆς ὀρθότητα εἶναι τὴν ἡδονὴν ταῖς ψυχαῖς πορίζουσαν δύναμιν.* Phil. 56. B: *τὰ πολλὴν ἀκρίβειαν αὐτῇ πορίζοντα.* Gorg. 522. B: *τοὺς πορίζοντας* (*ἡδονάς*). Phil. 30. D: *τῇ ... ἐμῇ ζητήσει πεπορικὼς ἀπόκρισιν.* Legg. XII. 966. E: *ὧν κίνησις γένεσιν παραλαβοῦσα ἀέναον οὐσίαν ἐπόρισεν.* Phaedr. 256. B: *πορίσαι ἀνθρώπῳ.* Gorg. 522. B: *οἷς πορίζεται.* Pol. II. 364.

Digitized by Google

B: *ὡς ἔστι παρὰ σφίσι δύναμις ἐκ θεῶν ποριζομένη.* Conv. 203. E: *τὸ ... ποριζόμενον ἀεὶ ὑπερεῖ.* Eryx. 404. D: *εἴπερ διὰ τῆς ἰατρικῆς τὸ ἀκούειν πορισθείη.* Pol. IV. 437. C: *καθ' ὅσον ἐθέλει τί οἱ πορισθῆναι.* Med. *mihi comparo; nanciscor, reperio;* etiam *subministro.* Gorg. 501. A: *ᾧ δὴ καὶ πορίζεται τὰς ἡδονάς.* Conv. 191. B: *ἄλλην μεχανὴν πορίζεται.* Men. 78. D: *κἂν ἀδίκως τις αὐτὰ πορίζηται.* Phaedr. 269. C: *αὐτοὺς δεῖν παρ' ἑαυτῶν τοὺς μαθητὰς σφων πορίζεσθαι ἐν τοῖς λόγοις.* Gorg. 493. E: *δυνατὰ ... πορίζεσθαι.* Lach. 199. E: *τἀγαθὰ πορίζεσθαι.* Conv. 208. E: *ἀθανασίαν ... αὐτοῖς εἰς τὸν ἔπειτα χρόνον πάντα ποριζόμενοι.* Phaedr. 244. C: *ἄτ' ἐκ διανοίας ποριζομένων ἀνθρωπίνῃ οἰήσει νοῦν τε καὶ ἱστορίαν.* Ax. 368. B: *μόλις ποριζομένους τἀπιτήδεια.* Crat. 421. C: *ἔν ... ἄρτι που ἐπορισάμεθα.* Tim. 47. A: *ἐξ ὧν ἐπορισάμεθα φιλοσοφίας γένος.* Eryx. 404. D: *εἰ τὴν ἰατρικὴν ἀντὶ χρημάτων πορισαίμεθα.* Phaedr. 269. D: *τὴν τοῦ τῷ ὄντι ῥητορικοῦ τε καὶ πιθανοῦ τέχνην πῶς καὶ πόθεν ἄν τις δύναιτο πορίσασθαι;* Eryx. 404. E. Pol. IV. 427. D: *φῶς ποθὲν πορισάμενος ἱκανόν.* Legg. X. 898. E: *ἢ ποθεν ἔξωθεν σῶμα ... πορισαμένη πυρὸς ἢ τινος ἀέρος.* Pol. V. 465. C: *τὰ δὲ πάντως πορισάμενοι.* Ep. VII. 350. A: *πρόφασίν τινα πρεσβείας πορισάμενοι.* Eryx. 404. A: *οἷς ταῦτα πορίεται ἃ γε δὴ ὑπάρχοι.*

πόριμος, ὁ ἡ, copiis et *remediis affluens.* Conv. 203. D: *πόριμος (ὁ Ἔρως).*

πορίστικος, ἡ, ὁν, subministrans. Gorg. 517. D: *τούτων ... πορίστικὸν εἶναι* cet.

πόρκος, ὁ, verriculum. Soph. 220. C: *βρόχους καὶ πόρκους.*

πόρος, ὁ, meatus, iter. Epin. 982. B: *τὸ ... ἐν τάξει τε καὶ οὐρανῷ πόρον ἔχον.* **meatus*, i. q. *fistula.* Locr. 101. A: *ὧν τοὶ πόροι διήκοντι ἄχρις ἥπατος χωρέοντες.* Men. 76. C: *τῶν ... ἀποῤῥοῶν τὰς μὲν ἁρμόττειν ἐνίοις τῶν πόρων* cet. Locr. 101. A: *διὰ ... στενῶν πόρων διαθεῖσθαι.* Ax. 366. A: *ἄτε παρεσπαρμένη τοῖς πόροις.* Men. 76. C: *πόρους, εἰς οὓς καὶ δι' ὧν αἱ ἀποῤῥοαὶ πορεύονται.* Locr. 100. E: *τᾷ ἐς τὼς πόρως διαδύσει.* **via* s. *ratio* (aliquid inveniendi vel consequendi). Theaet. 191. A: *ἦ ... ἔτι πόρον τινὰ εὑρίσκω τοῦ ζητήματος ἡμῖν ἄκουε.* Legg. VI. 752. D: *εἴ πῃ τινα πόρον ἱκανὸν ποριζοιμεν ἂν κατὰ τάδε.* E: *τίνα ... ἐπὶ τούτῳ πόρον καὶ λόγον ἀνευρίσκομεν;* Etiam *comparatio* (i. q. *τὸ ποριζεσθαι*). Men. 78. E: *ὁ πόρος τῶν τοιούτων ἀγαθῶν.* D: *τούτῳ τῷ πόρῳ.*

πόῤῥω, longe et *longius, amplius; procul;* c. genit. *procul a.* Prot. 356. E: *εἴτ' ἐγγὺς εἴτε πόῤῥω εἴη.* Phaedr. 238. D: *τὰ νῦν ... οὐκέτι πόῤῥω διθυράμβων ἐφθέγγομαι.* Gorg. 458. B: *νῦν ἴσως πόῤῥω ἀποτενοῦμεν.* Phaed. 96. E: *πόῤῥω που ... ἐμὲ εἶναι τοῦ οἴεσθαι περὶ τούτων του τὴν αἰτίαν*

Digitized by Google

εἰδέναι. Theaet. 151. C: *πόρρω ὄντες τοῦ εἰδέναι ὅτι* cet. Soph. 234. C: *ἔτι πόρρω τῶν πραγμάτων τῆς ἀληθείας ἀφεστῶτας.* Conv. 176. D: *πόρρω ... πιεῖν.* 219. A: *σὺ δὲ τούτων ἔτι πόρρω.* Pol. I. 343. C: *οὕτω πόρρω εἰ περί τε τοῦ δικαίου ... ὥστε ἀγνοεῖς* cet. III. 395. D: *ἐὰν ἐκ νέων πόρρω διατελέσωσιν (αἱ μιμήσεις).* IV. 432. E: *πόρρω δέ ποι ἀπεσκοποῦμεν.* VI. 499. C: *πόρρω που ἐκτὸς ὄντι τῆς ἡμετέρας ἐποψεως.* VIII. 554. E: *ἠρμοσμένης τῆς ψυχῆς ἀληθῆς ἀρετὴ πόρρω ποι ἐκφεύγοι ἂν αὐτόν.* IX. 581. E: *τῆς ἡδονῆς οὐ πάνυ πόρρω.* 620. C: *πόρρω δ' ἐν ὑστάτοις ἰδεῖν* cet. Legg. VII. 800. C: *στάντες οὐ πόρρω τῶν βωμῶν.* IX. 879. D: *ἵνα πόρρω γίγνηται τοῦ ... τολμῆσαι* cet. Ep. XIII. 360. A: *πόρρω κατακείμενος ἀπ' ἐμοῦ.* Cum artic. Crat. 395. C: *οὐδὲν ... τῶν πόρρω τῶν εἰς τὸ πᾶν γένος.* Legg. I. 630. D: *τὸν νομοθέτην ἡμῶν ἀποβάλλομεν εἰς τοὺς πόρρω νομοθέτας.* V. 745. C: *τοῦ τ' ἐγγὺς καὶ τοῦ πόρρω μετέχοντα.* Cum genit. etiam est germ. *weit, zu weit* vel *zu weit hinein.* Prot. 310. C: *ἔπειτά μοι λίαν πόρρω ἔδοξε τῶν νυκτῶν εἶναι.* Gorg. 484. C: *(ἐὰν) πόρρω τῆς ἡλικίας φιλοσοφῇ.* 486. A: *τοὺς πόρρω ἀεὶ φιλοσοφίας ἐλαύνοντας.* (Cf. Crat. 410. E. Euth. 4. A.). Conv. 217. D: *διελεγόμην πόρρω τῶν νυκτῶν* Legg. II. 660. C: *πόρρω προβεβηκότα ἁμαρτίας.* Apol. 38. C: *ὅτι πόρρω ἤδη ἐστὶ τοῦ βίου.* Lys. 204. B: *πόρρω ἤδη εἶ πορευόμενος τοῦ ἔρωτος.* Euthyd. 294. E: *οὕτω πόρρω σοφίας ἥκεις;* Theag. 122. C: *(μὴ) πόρρω που τῆς συνουσίας αἰσθώμεθα γελοῖοι ὄντες.* — Comp. Phil. 22. E: *πορρωτέρω δέ ἐστι τῶν τριτείων.* Pol. VII. 526. D: *τὸ ... πορρωτέρω προϊόν.* VIII. 562. D: *πορρωτέρω τοῦ δέοντος.* Legg. XI. 932. C: *πορρωτέρω τούτων τῶν ἐτῶν ὄντες.* Alc. I. 131. A. C. Eryx. 397. C: *μὴ πορρωτέρω τις λοιδορία ... γένοιτο.* Tim. 70. E: *ὅτι πορρωτάτω τοῦ βουλευομένου κατοικοῦν.*

πόρρωθεν, eminus; procul; longe. Prot. 356. C: *φαίνεται ... τὰ αὐτὰ μεγέθη ἐγγύθεν μὲν μείζω, πόρρωθεν δὲ ἐλάττω.* Phaedr. 239. B: *πόρρωθεν εἴργειν.* Theaet. 191. B: *πόρρωθεν ... ὁρῶν ἄλλον.* 208. E: *ἕως ... ἀφεστήκῃ πόρρωθεν.* Soph. 234. B: *πόρρωθεν τὰ γεγραμμένα ἐπιδεικνύς.* Parm. 133. B: *πολλὰ καὶ πόρρωθεν πραγματευομένου τοῦ ἐπιδεικνυμένου.* Phil. 41. E. Conv. 224. B: *δῆλος ὢν παντὶ καὶ πάνυ πόρρωθεν.* Pol. II. 368. D: *γράμματα σμικρὰ πόρρωθεν ἀναγνῶναι.* VI. 499. A: *τὰ δὲ κομψὰ ... πόρρωθεν ἀσπαζομένων* (i. e. *etiam atque etiam valere iubentium*). Legg. II. 663. B: *τὸ πόρρωθεν ὁρώμενον.* Charm. 153. B: *εὐθὺς πόρρωθεν ἠσπάζοντο ἄλλος ἄλλοθεν.* 155. A: *τοῦτο ... πόρρωθεν ὑμῖν τὸ καλὸν ὑπάρχει ἀπὸ τῆς Σόλωνος συγγενείας.*

πορφύρα, ἡ, purpura. Legg. VIII. 847. C: *πορφύραν καὶ ὅσα βαπτὰ χρώματα.* Demod. 383. B.

ποσάκις, quoties. Ep. VIII. 353. D: *ποσάκις ἐν ἐλπίδι ἑκάτεροι γεγόνατε* cet.

Digitized by Google

ποσαπλάσιος, ία, ιον, quam multiplex, quanto maior. Men. 83. B: *ἀλλὰ ποσαπλάσιον;* Resp. *τετραπλάσιον.* 84. E: *τὸ ὅλον τόδε ποσαπλάσιον τοῦδε γίγνεται;*

ποσάπους, ὁ ἡ, quot pedes habens. Men. 85. B: *τόδε ... ποσάπουν γίγνεται;*

ποσίδεσμος, pedes cohibens. Crat. 402. E: *ὡς ποσίδεσμον ὄντα.*

πόσις, ἡ, potio. Theaet. 159. E: *ἡ τοῦ οἴνου πόσις.* Legg. I. 645. D. VI. 782. E: *ἐδωδὴ ... καὶ πόσις.* Conv. 176. B: *ῥᾳστώνην τινὰ τῆς πόσεως.* 213. E: *ἄρχοντα ... τῆς πόσεως.* Legg. I. 637. D. II. 671. A: *προϊούσης τῆς πόσεως.* C. Pol. I. 350. A: *ἐν τῇ ἐδωδῇ ἢ πόσει.* Legg. II. 667. B. Pol. IX. 580. E: *τῶν περὶ τὴν ἐδωδὴν ἐπιθυμιῶν καὶ πόσιν.* Legg. I. 648. E: *πρὸς ... τὴν ἐσχάτην πόσιν ... πρὶν ἀφικνεῖσθαι.* VI. 783. C. I. 641. A: *τὸ περὶ τὰς πόσεις νόμιμον.*

πόσος, η, ον, quantus, pl. *quot.* Theaet. 198. C: *πόσος τις ἀριθμὸς τυγχάνει ὤν.* Men. 83. B: *πόσον οὖν γίγνεται;* Conv. 216. D: *πόσης οἴεσθε γέμει ... σωφροσύνης.* Legg. VIII. 850. A: *πόσου προσγενομένου* cet. Apol. 20. B: *πόσου διδάσκει;* 41. A: *ἐπὶ πόσῳ ἄν τις δέξαιτ' ἂν ὑμῶν;* Id. Alc. 115. D. 112. E: *πόσῳ (πλείω);* Pol. VII. 540. A: *χρόνον ... πόσον τοῦτον τίθης;* Legg. V. 737. C: *πόσον εἶναι χρεών (τὸν ὄγκον τοῦ ἀριθμοῦ)* VI. 767. B: *πόσοι ἐφ' ἕκαστον.* Men. 82. D. Theaet. 196. A: *πόσα ποτ' ἐστί.* Phil. 17. B. Men. 82. C: *πόσων ἂν εἴη ποδῶν τὸ ὅλον;* Legg. III. 578. D: *γενεαῖς ... πόσαις ... οἰόμεθα τοῦθ' οὕτω γεγονέναι;* V. 737. D: *ὁπόση πόσους σώφρονας ὄντας ἱκανὴ τρέφειν.* Accentu mutato *ποσός;* unde *ποσόν, quod quantitate aliqua est,* c. art. *quantitas.* Soph. 245. D: *ποσόν τι ... ὄν.* Phil. 24. C: *οὐκ ἐάτον εἶναι ποσὸν ἕκαστον.* Ib. *τὸ ... ποσὸν ἀφανίζεται.* D: *λαβόντε τὸ ποσόν.* Ib. *τὸ ... ποσὸν ἔστη.*

ποταμός, ὁ, fluvius; in univ. *flumen.* Legg. VI. 761. B: *ἐάν τέ τις ποταμὸς ἐάν τε καὶ κρήνη ᾖ.* Crat. 402. A: *ποταμοῦ ῥοῇ ἀπεικάζων τὰ ὄντα.* Legg. IV. 704. A. Phaedr. 242. A: *τὸν ποταμὸν τοῦτον διαβάς.* Theaet. 200. E: *ὁ τὸν ποταμὸν καθηγούμενος.* Pol. X. 621. C: *τὸν τῆς Λήθης ποταμὸν εὖ διαβησόμεθα.* Tim. 43. A: *εἰς ποταμὸν (flumen) ἐνδεθεῖσαι πολύν.* Legg. X. 900. C. Phaed. 111. D: *ἀενάων ποταμῶν ἀμήχανα μεγέθη.* Critia 111. D: *ἄφθονα κρηνῶν καὶ ποταμῶν ναάματα.* Tim. 22. D: *τῶν ποταμοῖς καὶ θαλάττῃ προσοικούντων.* Legg. VII. 824: *(ἐν) ἱεροῖς ποταμοῖς.* Phaed. 111. D: *πυρὸς μεγάλους ποταμούς.* Soph. 222. A. Critia 107. C. Legg. III. 682. B.

πότε, quando. Phaedr. 268. A: *πότ' ἔχει τὴν τῆς τέχνης δύναμιν.* 272. A: *τοῦ πότε λεκτέον.* Phaed. 76. C: *πότε λαβοῦσαι αἱ ψυχαὶ ἡμῶν τὴν ἐπιστήμην αὐτῶν;* Phil. 42. D. Pol. VI. 492. B: *πότε δή;* al. Enclit. *ποτέ, aliquando* (etiam i. q. *quandoque*), *olim; unquam.* Prot. 320. C: *ἦν γάρ*

Digitized by Google

ποτε χρόνος. Phaedr. 243. C: *πρότερόν ποτε ἐρασθείς.* 249. B: *ὅς ποτε ἄνθρωπος ἦν.* Phaed. 66. D: *εἰ μέλλομέν ποτε καθαρῶς τι εἴσεσθαι.* 76. C: *ἃ ποτε ἔμαθον.* Theaet. 198. C: *ἦ οὖν ὁ τοιοῦτος ἀριθμοί ἄν ποτέ τι —;* Parm. 155. E: *οὐσίας μετέχειν ποτέ.* 156. A: *ἐὰν μή ποτε καὶ λαμβάνῃ αὐτὸ καὶ ἀφίῃ.* Pol. IV. 439. E: *ἀλλ' ... ποτὲ ἀκούσας τι πιστεύω τούτῳ.* VI. 500. E: *ὡς οὐκ ἄν ποτε ἄλλως εὐδαιμονήσειε πόλις.* VII. 530. E. X. 620. A: *τήν ποτε Ὀρφέως γενομένην ψυχήν.* Tim. 23. C: *ἦν γὰρ δή ποτε ... ἡ νῦν Ἀθηναίων οὖσα πόλις ἀρίστη* cet. Critia 115. B: *ἡ τότε ποτὲ οὖσα ... νῆσος.* Ut Lat. *aliquando*, etiam est *tandem* et *tandem aliquando.* Prot. 314. E: *μόγις οὖν ποτὲ ἡμῖν ἄνθρωπος ἀνέῳξε τὴν θύραν.* Theaet. 160. E: *τοῦτο ... μόγις ποτὲ ἐγεννήσαμεν.* Legg. VII. 798. A. VIII. 832. D: *μνησθῆναί ποτε περὶ ἁπάντων τῶν ἀγώνων τῶν γυμνικῶν.* Saepius est i. q. *fere.* Riv. 133. A: *ἀεὶ γάρ ποτε ὑπὸ τῶν νέων τε καὶ καλῶν ἐκπλήττομαι.* Vocibus interrog. relat. subiectum est germ. *wohl* vel *denn* (Lat. *tandem* et *cunque*). Prot. 324. A: *τί ποτε δύναται.* Gorg. 450. B: *τί οὖν δή ποτε τὰς ἄλλας τέχνας οὐ ῥητορικὰς καλεῖς —;* Theaet. 160. E: *ὅ τι δή ποτε* (*qualecunque*) *καὶ τυγχάνει ὄν.* Phil. 37. B: *τῷ ποτὲ ... τρόπῳ δόξα ψευδὴς ... ἡμῖν φιλεῖ γίγνεσθαι —; — Ποτὲ μὲν — ποτὲ δέ, modo — modo.* Theaet. 170. C: *ἦ ποτὲ μὲν ἀληθῆ, ποτὲ δὲ καὶ ψευδῆ.* Pro altero *ποτὲ δέ* etiam aliae frequentantur particulae. Phaed. 59. A: *ποτέ* (al. *ὁτὲ*) *μὲν γελῶντες, ἐνίοτε δὲ δακρύοντες.* Id. Phil. 46. C. Theaet. 192. D: *καὶ ἅπτομαί ποτ' αὐτῶν, τοτὲ δ' οὔ.* Pol. VIII. 560. A: *καὶ ποτὲ μὲν — αὖθις δὲ* cet.

πότερος, ἑρα, ερον, uter. Gorg. 464. D: *πότερος ἐπαΐει περὶ τῶν χρηστῶν σιτίων ... ὁ ἰατρὸς ἢ ὁ ὀψοποιός.* Crat. 403. C: *πότερος* (*δεσμὸς*) *ἰσχυρότερός ἐστιν, ἀνάγκη ἢ ἐπιθυμία;* Legg. VII. 793. A. Lys. 207. B. Crat. 439. A: *ποτέρα ἂν εἴη καλλίων ... ἡ μάθησις;* Phaed. 78. B: *πότερον ψυχή ἐστι.* Phaedr. 263. C: *ποτέρου ὂν τυγχάνει τοῦ γένους.* Soph. 236. C: *ἐν ποτέρᾳ τὸν σοφιστὴν θετέον.* Polit. 260. C. Phaed. 79. B: *ποτέρῳ ... ὁμοιότερον τῷ εἴδει φαῖμεν ἂν εἶναι ... τὸ σῶμα;* Pol. I. 349. E: *πότερον φρόνιμον καὶ πότερον ἄφρονα* (*λέγεις*)*;* Gorg. 521. A: *ἐπὶ ποτέραν ... με παρακαλεῖς τὴν θεραπείαν τῆς πόλεως;* Legg. II. 663. C: *ποτέραν κυριωτέραν εἶναι φῶμεν;* Pol. IV. 427. D: *πότερον δεῖ κεκτῆσθαι τὸν μέλλοντα εὐδαίμονα εἶναι.* Gorg. 498. A: *πότεροι ... μᾶλλον χαίρουσι ... οἱ φρόνιμοι ἢ οἱ ἄφρονες;* Theaet. 186. A: *ποτέρων οὖν τίθῃς τὴν οὐσίαν;* Pol. VII. 524. D. Hipp. mai. 303. A: *ποτέρων ... δοκεῖ σοι τὸ καλὸν εἶναι;* Pol. IV. 431. E: *ἐν ποτέροις ... φήσεις τῶν πολιτῶν τὸ σωφρονεῖν ἐνεῖναι —;* Legg. IV. 715. A: *ποτέροις τισὶν ἡ πόλις ἡμῖν ἐστὶ παραδοτέα.* Phaedr. 263. B: *ἐν ποτέροις μεῖζον δύναται;* Pol. VI. 484. B: *ποτέρους δὴ δεῖ πόλεως*

Digitized by Google

ἡγεμόνας εἶναι; 527. E: σκόπει ... πρὸς ποτέρους διαλέγει. Theaet. 196. C: τούτων πότερα αἱρεῖ; *alteruter. Lach. 181. D: τί οὖν λέγει πότερος ὑμῶν; Soph. 252. A: ἔσται πότερον αὐτῶν οὐσίας μὴ προσκοινωνοῦν; 264. D: ὅτι γ' ἦν ὁ σοφιστὴς τούτων πότερον. Phil. 20. E. 60. C. Theaet. 145. A: εἰ ποτέρου τὴν ψυχὴν ἐπαινοῖ πρὸς ἀρετήν cet. 178. C: κατὰ τὴν ποτέρου δόξαν φῶμεν τὸ μέλλον ἀποβήσεσθαι. Polit. 284. D: μὴ ... ὄντος ποτέρου τούτων. Pol. IV. 439. E: ἢ τούτων ποτέρῳ ἂν εἴη ὁμοφυές; Legg. II. 673. B: τί ποτε οἴει σοι πότερον ἡμῶν ἀποκρινεῖσθαι —; Soph. 259. D: ὅ φησι τούτων πεπονθέναι πότερον. Polit. 22. D. Charm. 171. B: τούτων ποτέροις ἐπακολουθῆσαι. Pol. VI. 499. C: τούτων ... πότερα γενέσθαι ἢ ἀμφότερα ὡς ἄρα ἐστὶν ἀδύνατον cet. — Neutrum πότερον particulae interrogantis (Lat. *utrum*) instar frequentatur. Prot. 316. B: πότερον ... μόνῳ βουλόμενοι διαλεχθῆναι, ἢ καὶ μετὰ τῶν ἄλλων; Soph. 228. C: πότερον αὐτὰ φήσομεν ὑπὸ ξυμμετρίας ... ἢ τοὐναντίον ὑπ' ἀμετρίας αὐτὰ πάσχειν; Crat. 436. A. Pol. I. 328. E. II. 374. C. V. 473. A. al. innum. Simpliciter interrogat (non sequente ἤ, Lat. *an*). Soph. 228. A: πότερον ἄλλο τι στάσιν ἡγούμενος ἢ τὴν ... διαφοράν; Polit. 284. B: πότερον ... προσαναγκαστέον —; Pol. VI. 501. D: πότερον μὴ τοῦ ὄντος ... ἐραστὰς εἶναι τοὺς φιλοσόφους; Etiam simpliciter ponitur ἤ pro pleno illo πότερον — ἤ. Phaedr. 270. D: ἁπλοῦν ἢ πολυειδές ἐστιν cet. Theaet. 151. E. 161. D: ὀρθὴ ἢ ψευδής. 203. A. Phil. 27. E: ἡδονὴ καὶ λύπη πέρας ἔχετον, ἢ τῶν τὸ μᾶλλόν τε καὶ ἧττον δεχομένων ἐστόν; Legg. II. 670. B: ὀρθῶς ἢ μή; IX. 859. A. — Similiter pl. πότερα. Phaedr. 276. B: πότερα — ἢ cet. Gorg. 509. D: πότερα δύναμιν, ἢ βούλησιν; Polit. 258. E. 281. B. Phil. 40. B: πότερα φῶμεν — ἢ μὴ φῶμεν; Pol. I. 331. C. V. 451. D. Legg. I. 626. C: πότερ' οὖν δὴ πόλεσι μὲν πρὸς πόλεις ὀρθὸν τοῦτ' ἐστί, κώμῃ δὲ πρὸς κώμην ἕτερον; II. 663. C. IV. 704. C. Apol. 22. E. al.

ποτέρωθι, *utra in parte.* Phaedr. 263. B: ποτέρωθι ... εὐαπατητότεροί ἐσμεν —;

πότερος, *utro modo.* Gorg. 502. B: πότερος σοι δοκεῖ παρεσκευάσθαι ἡ τῶν τραγῳδιῶν ποίησις; Crat. 435. E: πότερος οἴει; Pol. I. 341. B: πότερος λέγεις τὸν ἄρχοντα cet. 347. E. Alc. I. 120. C: πότερος ἂν οἴει σαυτοῦ μᾶλλον ἐπιμεληθῆναι, φοβούμενος ... ἢ μή; Etiam indirecte interrogantis est (germ. *ob.* Polit. 272. D: ἕως ἂν ἡμῖν μηνυτής τις ἱκανὸς φανῇ, ποτέρως οἱ τότε τὰς ἐπιθυμίας εἶχον περί τε ἐπιστημῶν cet.) et *quomodo.* Pol. II. 368. C: περὶ τῆς ὠφελείας αὐτοῖν τἀληθὲς ποτέρως ἔχει.

ποτηνός, ή, όν, *alatus.* Phaedr. 252. B. (e vers.).

ποτίζω, *do bibere.* Phaedr. 247. E: νέκταρ ἐπότισε.

Digitized by Google

πότιμος, ὁ ἡ, potabilis, dulcis. Phaedr. 243. D: *ποτίμῳ λόγῳ οἷον ἁλμυρὰν ἀκοὴν ἀποκλύσασθαι.*

πότμος, ὁ, mors. Apol. 28. C. (ex Hom.).

ποτόν, τό, potio, potus. De lucri cup. 231. A: *ὅτι τῇ τοῦ σώματος ὑγρᾷ τροφῇ ... τοῦτο τὸ ὄνομά ἐστι, ποτόν.* Pol. IV. 437. D: *θερμοῦ ποτοῦ ἢ ψυχροῦ.* 438. A: *χρηστοῦ ποτοῦ.* IX. 585. B. Prot. 334. A: *σιτία καὶ ποτά.* Eryx. 404. A. Phaedr. 259. C: *ἠμέλησαν σίτων τε καὶ ποτῶν.* Soph. 224. A. Pol. II. 380. E. Tim. 70. D. Legg. VII. 797. E: *πᾶσι ... ποτοῖς.* Eryx. 402. B. Prot. 314. A: *σιτία ... καὶ ποτά.* Pol. I. 332. C. Tim. 78. A.

πότος, ὁ, potatio, compotatio. Prot. 347. C: *ἀλλήλοις ... συνεῖναι ἐν τῷ πότῳ.* Conv. 176. A: *τρέπεσθαι πρὸς τὸν πότον.* Pol. I. 329. A: *περὶ πότους τε καὶ εὐωχίας.* III. 389. E. Ep. VII. 326. D.

ποῦ, ubi. Phaedr. 228. E: *ἀλλὰ ποῦ δὴ βούλει καθεζόμενοι ἀναγνῶμεν;* Theaet. init. *ποῦ μήν;* Conv. 175. A: *θαυμάζω καὶ αὐτὸς ποῦ ἂν εἴη.* Pol. II. 371. E. al. innum. — Etiam *quorsum, quam in partem, qua ratione.* Gorg. 453. C: *ὁ τὰ ποῖα τῶν ζώων γράφων καὶ ποῦ.* Polit. 307. C: *ποῦ δὴ λέγεις;* ΞΕ. *Ἐν πᾶσι ... τούτοις* cet. Pol. IX. 584. B: *ποῦ δὴ ... καὶ ποίας (ἡδονὰς) λέγεις;* — Enclit. *πού* est *alicubi (ἐάν που, sicubi).* Prot. 320. A. Pol. VII. 537. A. al.), *uspiam.* Phaed. 72. A: *εἶναί που.* E. 86. B: *ὡς ἀνάγκη ἔτι που εἶναι αὐτὴν τὴν ἁρμονίαν.* al. Saepius est *fere, ni fallor, opinor* (germ. *etwa, wohl, doch*), et fortius *sane, haud dubie.* Prot. 313. D: *καὶ γὰρ οὗτοί που ... οὔτε αὐτοὶ ἴσασιν* cet. Phaedr. 229. C: *καί πού τις ἔστι βωμὸς αὐτόθι Βορέου.* 266. D: *καλόν πού τι ἂν εἴη ὃ* cet. Phaed. 62. E: *ὃ δὲ νοῦν ἔχων ἐπιθυμοῖ που ἂν ἀεὶ εἶναι παρὰ τῷ αὐτοῦ βελτίονι.* Phil. 64. D: *οὐδείς που τοῦτο ἀνθρώπων ἀγνοεῖ.* Pol. II. 372. A: *εἰ μή που ἐν αὐτῶν τούτων χρεία τινὶ τῇ πρὸς ἀλλήλους.* IV. 425. E: *τὰ πολλὰ ... αὐτῶν ... ῥᾳδίως που εὑρήσουσι.* IX. 582. D: *διὰ λόγων που ἔφαμεν δεῖν κρίνεσθαι· ἢ γάρ;* Traiectum. Phaedr. 258. A: *ἔδοξέ πού φησι* (int. *ἀνὴρ πολιτικὸς*) *τῇ βουλῇ* cet. Legg. IV. 710. B: *ἔχετε γὰρ ὃ λέγω που.*

πούς, ὁ, pes (etiam metricus). Polit. 270. A: *ἐπὶ σμικροτάτου βαίνον ποδός.* Alc. I. 128. C. Men. 82. C: *ἑνὸς ποδός.* Pol. III. 400. A: *ποδί τε καὶ μέλει.* Lach. 183. B: *οὐδὲ ἄκρῳ ποδὶ ἐπιβαίνοντας.* Soph. 243. E: *κατὰ πόδα γε (e vestigio) ... ὑπέλαβες.* Legg. XI. 918. A: *ἕπεται κατὰ πόδα.* Soph. 242. A: *παρὰ πόδα μεταβαλὼν ἑμαυτὸν ἄνω καὶ κάτω.* Pol. III. 400. A: *τὸν πόδα ... καὶ τὸ μέλος.* Men. 82. C: *εἰ ... εἴη αὕτη ἡ πλευρὰ δυοῖν ποδοῖν.* 83. D. 82. D: *πόσοι ... εἰσὶν οἱ δύο δις πόδες;* 83. E. Prot. 321. B: *ὑπὸ ποδῶν.* Gorg. 507. D: *ὡς ἔχει ποδῶν ἕκαστος ἡμῶν.* Pol. IV. 432. D: *πρὸ ποδῶν ... κυλινδεῖσθαι.* Tim. 33. D.

Digitized by Google

Critia 115. D: *ἑκατὸν ... ποδῶν βάθος.* 118. D. Men. 82. D. Ion. 535. B: *ἐκχέοντα τοὺς ὀϊστοὺς πρὸ τῶν ποδῶν.* Theaet. 175. B: *τὰ ... ἐν ποσὶν ἀγνοῶν.* Phaed. 117. E: *ἐπεσκόπει τοὺς πόδας καὶ τὰ σκέλη.* Theaet. 174. A: *τὰ ... παρὰ πόδας.* C. Conv. 205. E: *πόδας καὶ χεῖρας.* 220. B. Pol. VII. 522. D: *οὐδ' ὅσους πόδας εἶχεν εἰδότος.* X. 615. E. Alc. I. 128. C.

πρᾶγμα, τό, res; negotium; molestia; id quod nostra interest vel *refert*, pl. *res, rerum status;* saepissime orationis est amplificatio. Prot. 309. C: *καὶ τί ἂν γεγονὸς εἴη περὶ οὐ κἀκεῖνον τοσοῦτον πρᾶγμα;* Gorg. 447. B: *οὐδὲν πρᾶγμα* (germ. *das macht nichts, hat nichts zu bedeuten* s. *es liegt nichts daran*). Crat. 393. D: *εἰ ... ἐν ἑτέραις συλλαβαῖς ἢ ἐν ἑτέραις τὸ αὐτὸ σημαίνει, οὐδὲν πρᾶγμα.* Conv. 198. E: *πρᾶγμα οὐδέν.* 182. A: *κοσμίως ... ὁτιοῦν πρᾶγμα πραττόμενον.* 217. C: *ἰστέον ἤδη τί ἐστι τὸ πρᾶγμα.* Legg. IV. 708. E: *ἐὰν πρὸς καιρόν τινα λέγωμεν, πρᾶγμα οὐδὲν γίγνοιτ' ἂν ἔτι.* VII. 794. E: *πρᾶγμα οὐδέν.* Euth. 3. D: *τὸ ... καταγελασθῆναι ἴσως οὐδὲν πρᾶγμα.* 4. D. Hipp. mai. 286. E: *φαῦλον γὰρ ἂν εἴη τὸ ἐμὸν πρᾶγμα* (nos: *es stände ja sonst schlecht mit mir*). 291. A: *ἐμοὶ οὐδὲν πρᾶγμα φύρεσθαι πρὸς τὸν ἄνθρωπον.* Apol. 20. C: *τὸ σὸν τί ἐστι πρᾶγμα* (nos: *wie steht es mit dir?*). Phaedr. 232. E: *φιλίαν ... ἐκ τοῦ πράγματος ... γενήσεσθαι.* Phaed. 61. C: *ὅτῳ ἄξιως τούτου τοῦ πράγματος* (i. e. *φιλοσοφίας*) *μέτεστιν.* Pol. 353. A: *καί μοι δοκεῖ τοῦτο ἑκάστου πράγματος ἔργον εἶναι.* Prot. 312. C: *οὔτ' εἰ ἀγαθῷ οὔτ' εἰ κακῷ πράγματι* (germ. *etwas gutem oder bösem*). Gorg. 520. B: *μέμψεσθαι τούτῳ τῷ πράγματι* (germ. *das zu tadeln was* cet.) *ὃ αὐτοὶ παιδεύουσιν.* Legg. I. 640. C: *ὡς οὐδενί γε πράγματι* (antec. *τούτοις ἄρχοντος δεῖ*). Gorg. 512. B: *σεμνύνων τὸ πρᾶγμα.* 517. C: *πρᾶγμα ... γελοῖον ποιοῦμεν ... ἐν τοῖς λόγοις.* 519. B: *ἀνόητον πρᾶγμα ... ὁρῷ γιγνόμενον.* Theaet. 168. B: *ἀντὶ φιλοσόφων μισοῦντας τοῦτο τὸ πρᾶγμα* (i. e. *τὴν φιλοσοφίαν*) *ἀποφανεῖς.* Soph. 262. E: *συνθεὶς πρᾶγμα πράξει.* Polit. 308. C: *εἴ τις τῶν ... ἐπιστημῶν πράγμα ὁτιοῦν τῶν αὐτῆς ἔργων* (germ. *irgend eins ihrer Werke*) *... ξυνίστησιν.* Pol. VII. 531. C: *δαιμόνιον ... πρᾶγμα λέγεις.* Legg. III. 697. C. Crit. 53. C: *ἀσχημον ἂν φανεῖσθαι τὸ τοῦ Σωκράτους πρᾶγμα.* Euthyd. 274. E: *τὸ πρᾶγμα, τὴν ἀρετήν.* Lach. 200. A: *οὐδὲν ... ἔτι πρᾶγμα εἶναι.* Phaed. 71. A: *ἐξ ἐναντίων τὰ ἐναντία πράγματα* (i. q. simpl. *τὰ ἐναντία*). Apol. 41. C: *οὐδὲ ἀμελεῖται ὑπὸ θεῶν τὰ τούτου πράγματα.* Prot. 387. D: *τὴν ... φύσιν τῶν πραγμάτων εἰδέναι.* 341. D: (*ὃ ἄν*) *διὰ πολλῶν πραγμάτων γίγνηται.* Phaedr. 230. E: *περὶ ... τῶν ἐμῶν πραγμάτων ἐπίστασαι.* Gorg. 451. D: *τὰ μέγιστα τῶν ἀνθρωπείων πραγμάτων ... καὶ ἄριστα.* Theaet. 186. C: *διὰ πολλῶν πραγμάτων ... πα-*

Digitized by Google

ραγίγνεται. Polit. 285. E: *μὴ μετὰ πραγμάτων.* Pol. III. 406. E: *τελευτήσας πραγμάτων ἀπηλλάγη.* Alc. I. 107. C: *ὅταν περὶ τῶν ἑαυτῶν ... πραγμάτων (σκοπῶνται).* Euthyd. 288. E: *ἄνευ πραγμάτων.* Crat. 390. D: *φύσει τὰ ὀνόματα εἶναι τοῖς πράγμασι.* Alc. I. 105. C: *οὐδὲ (ἐξέσται) ἐπιθέσθαι τοῖς ἐκεῖ πράγμασιν.* Cum v. *ἔχειν* est germ. *geplagt sein*, cum v. *παρέχειν plagen.* Phaedr. 254. A: *πάντα πράγματα παρέχων τῷ σύζυγι* cet. Gorg. 467. D: *τίς γὰρ βούλεται ... πράγματ' ἔχειν;* Phaed. 63. E: *ἀλλά μοι πάλαι πράγματα παρέχει.* 115. A. Theaet. 143. C. 174. B: *πράγματ' ἔχει διερευνώμενος.* Crat. 427. D. Conv. 186. B: *καὶ κατ' ἀνθρώπινα καὶ κατὰ θεῖα πράγματα.* Pol. I. 347. D: *ἄλλον ὠφελῶν πράγματα ἔχειν.* V. 476. C: *ὁ ... καλὰ μὲν πράγματα νομίζων* cet. VII. 531. B: *τοὺς ταῖς χορδαῖς πράγματα παρέχοντας.* VIII. 549. C: *ὥστε πράγματα μὴ ἔχειν.* X. 604. C: *πρὸς τὰ πεπιτωκότα τίθεσθαι τὰ αὑτοῦ πράγματα.* Apol. 31. D: *πράττειν τὰ πολιτικὰ πράγματα.* Hipp. mai. 285. E: *πράγματ' ἂν εἶχες ἐκμανθάνων.* 295. A: *ὅσα πράγματα ἡμῖν ἤδη παρέσχηκε.* Sis. 387. E: *πολλά τε καὶ καλὰ ἐπιδεικνυμένου πράγματα καὶ λόγῳ καὶ ἔργῳ.*

πραγματεία, ἡ, negotium, inceptum; studium; occupatio, tractatio (praec. sedula). Gorg. 453. A: (*ὅτι*) *ἡ πραγματεία αὐτῆς ἅπασα ... εἰς τοῦτο τελευτᾷ.* Theaet. 517. D. Phaed. 64. E: *ἡ τοῦ τοιούτου* (int. *φιλοσόφου*) *πραγματεία.* 67. B: *οὐ ἕνεκα ἡ πολλὴ πραγματεία ἡμῖν ... γέγονεν.* Crat. 408. A: *περὶ λόγου δυναμίν ἐστι πᾶσα αὕτη ἡ πραγματεία.* Pol. VII. 532. C: *πᾶσα αὕτη ἡ πραγματεία τῶν τεχνῶν ... ταύτην ἔχει τὴν δύναμιν* cet. Legg. VI. 769. A: *ζωγράφων ... ἡ πραγματεία.* Riv. 139. A: *ἡ περὶ τὰς τέχνας πραγματεία.* Ep. II. 313. B. Phaedr. 273. E: *ταῦτα ... οὐ μή ποτε κτήσεται* (al. *κτήσηται*) *ἄνευ πολλῆς πραγματείας.* Polit. 275. E. Theag. 129. E: *περὶ ... πραγματείας τῆς ἄλλης (de reliquo incepto) πάνυ φοβοῦμαι.* Ep. II. 314. A: *μετὰ πολλῆς πραγματείας.* Phaed. 63. A: *ἠσθῆναί τέ μοι ἔδοξε τῇ τοῦ Κέβητος πραγματείᾳ.* Phil. 58. C. Gorg. 518. A: *περὶ σώματος πραγματείαν.* Polit. 279. A. Parm. 136. C: *ἀμήχανον ... λέγεις ... πραγματείαν.* Pol. VII. 528. D: *τὴν ... τοῦ ἐπιπέδου πραγματείαν γεωμετρίαν ἐτίθης.* 531. D. Eryx. 401. E. Gorg. 501. B: *εἶναί τινες καὶ περὶ ψυχὴν τοιαῦται ἄλλαι πραγματεῖαι.* Pol. VI. 500. C: *κάτω βλέπειν εἰς ἀνθρώπων πραγματείας.*

πραγματειώδης, ὁ ἡ, operosus. Parm. 137. B: *ἐπειδήπερ δοκεῖ πραγματειώδη παιδιὰν παίζειν.*

πραγματεύομαι, operam pono in aliqua re, sedulo aliquid tracto, pertracto, ago, anquiro, compono. Prot. 361. D: *πάντα ταῦτα πραγματεύομαι.* Hipp. mai. 304. C: *ὡς ... οὐδενὸς ἄξια πραγματεύομαι.* Ep. VII. 333. E: *ἣν (ἑταιρείαν) ἐκ τοῦ ξενίζειν ... πραγματεύονται.* Crat. 437. C:

Digitized by Google

εἰ πραγματεύοιτο. Theaet. 187. A: *ὅταν αὐτὴ καθ' αὑτὴν πραγματεύηται περὶ τὰ ὄντα.* Pol. IV. 430. D: *ἵνα μηκέτι πραγματευώμεθα περὶ σωφροσύνης.* 427. A: *τὸ τοιοῦτον εἶδος ... πραγματεύεσθαι.* Epin. 988. A: *ὡς οὐ χρὴ περὶ τὰ θεῖά ποτε πραγματεύεσθαι ἀνητοὺς ὄντας.* Parm. 130. D: *περὶ ἐκεῖνα πραγματευόμενος διατρίβω.* 133. B: *πάνυ πολλὰ καὶ πόρρωθεν πραγματευομένου.* Apol. 20. C. Pol. VI. 506. D: *τοσοῦτον χρόνον περὶ ταῦτα πραγματευόμενον.* 310. C: *οἱ περὶ τὰς γεωμετρίας ... πραγματευόμενοι.* Phaed. 99. D: *τὸν δεύτερον πλοῦν ... ᾗ πεπραγμάτευμαι.* 100. B: *τῆς αἰτίας τὸ εἶδος ὃ πεπραγμάτευμαι.* Parm. 129. E: *ταῦτα ... ἀνδρείως ... πάνυ ἡγοῦμαι πεπραγματεῦσθαι* (pass.). Apol. 22. B: *ἃ (ποιήματα) μοι ἐδόκει μάλιστα πεπραγματεῦσθαι αὐτοῖς* (pass.). Eryx. 398. E: *μηδὲν ἄλλο πραγματευσαμένῳ.* A: *πρὸς ... αὐτὰ ἐκεῖνα μηδὲν πραγματευσάμενον.* Ep. III. 315. E.

πρακτικός, ή, όν, in agendo occupatus, rebus gerendis aptus; efficax, agilis; in agendo positus (in re). Polit. 259. C: *τῆς ... πρακτικῆς* (oppos. *τῆς γνωστικῆς*). 311. A: *ἡμιόνητος ὀξείας καὶ πρακτικῆς ἐνδεῖται.* Def. 413. E: *προαιρέσεως πρακτικῆς.* Polit. 258. E: *τὴν μὲν (ἐπιστήμην) πρακτικὴν προσεπιών, τὴν δὲ μόνον γνωστικήν.* Legg. X. 894. D: *τίνα (τὶν' ἂν? int. κίνησιν) προκρίναιμεν ... πρακτικὴν διαφερόντως (εἶναι);* Pol. V. 476. A: *οὓς νῦν δὴ ἔλεγες φιλοθεάμονάς τε καὶ φιλοτέχνους καὶ πρακτικούς.*

πρᾶξις, ή, actio; res gerenda et *gesta; effectio* et *confectio.* Prot. 344. E: *τίς ... εἰς γράμματα ἀγαθὴ πρᾶξις ἐστι;* Gorg. 450. D: *πᾶσα ἡ πρᾶξις ... αὐταῖς διὰ λόγων ἐστί.* Polit. 304. E: *πᾶσα ἡ πολεμικὴ πρᾶξις.* Conv. 180. E: *πᾶσα ... πρᾶξις ὧδ' ἔχει* cet. Pol. IV. 433. E: *ἡ τοῦ οἰκείου τε καὶ ἑαυτοῦ ἕξις τε καὶ πρᾶξις δικαιοσύνη ἂν ὁμολογοῖτο.* Legg. IV. 716. C: *τίς ... πρᾶξις φίλη καὶ ἀκόλουθος θεῷ;* V. 737. A: *πολιτικὴ πρᾶξις.* Id. Euthyd. 306. B. Soph. 266. D: *τῆς ἡμετέρας ... ποιητικῆς πράξεως.* Pol. I. 349. B: *τῆς δικαίας πράξεως.* Tim. 21. D: *περὶ μεγίστης πράξεως ... ἣν ἥδε ἡ πόλις ἔπραξε* cet. Legg. IX. 876. D: *τὴν ἀξίαν τοῦ πάθους τε καὶ πράξεως.* 903. B: *πάθης καὶ πράξεως.* Charm. 163. B: *ποίησιν πράξεως καὶ ἐργασίας ἄλλο ἐνόμιζε.* Gorg. 527. C: *τῇ ῥητορικῇ οὕτω χρηστέον ... καὶ τῇ ἄλλῃ πάσῃ πράξει.* Conv. 181. A: *ἐν τῇ πράξει, ὡς ἂν πραχθῇ, τοιοῦτον* (int. *καλὸν*) *ἀπέβη.* Pol. II. 370. B: *ἄλλος ἐπ' ἄλλου ἔργου πράξει.* III. 399. A: *ἐν ... πολεμικῇ πράξει ὄντος ἀνδρείου.* B. Alc. I. 117. D: *τὰ ἁμαρτήματα ἐν τῇ πράξει.* Men. 99. B: *ἐν πολιτικῇ πράξει.* Prot. 356. B: *ταύτην τὴν πρᾶξιν πρακτέον.* Legg. VIII. 831. D: *πρᾶξιν πράττειν ὅσιόν τε καὶ ἀνόσιον.* IX. 871. C: *ὑπέχειν τὴν τῆς δίκης πρᾶξιν* (i. q. *τὴν τῆς πράξεως δίκην*) *κατὰ νόμον.* Charm. 163. E: *τὴν ... τῶν ἀγαθῶν πρᾶξιν σωφροσύνην*

Digitized by Google

εἶναι σαφῶς σοι διορίζομαι. Menex. 237. B: τὴν τῶν ἔργων πρᾶξιν ἐπιδείξωμεν. Crat. 387. A: κατὰ τὴν αὐτῶν ... φύσιν καὶ αἱ πράξεις πράττονται. Legg. X. 892. B: τὰ μεγάλα καὶ πρῶτα ἔργα καὶ πράξεις. XII. 960. B: ταφαὶ εἴτε καὶ ἄταφοι πράξεις. Polit. 258. D: ψιλαὶ τῶν πράξεών εἰσι (τέχναι). Pol. V. 476. A: τῇ ... τῶν πράξεων ... κοινωνίᾳ. Critia 120. D: τὰ δόξαντα περὶ πολέμου καὶ τῶν ἄλλων πράξεων. Hipp. mai. 281. C: ἀπεχόμενοι τῶν πολιτικῶν πράξεων. Phaedr. 271. E: αὐτὰ ἐν ταῖς πράξεσιν (nos: *im Handeln*, h. e. *in der Wirklichkeit*) ὄντα. Pol. IX. 577. A: ἐν ... ταῖς κατ' οἰκίαν πράξεσιν. Legg. II. 655. D: ἐν πράξεσι ... παντοδαπαῖς γιγνόμενα. Lach. 192. A: ἐν ταῖς τῶν χειρῶν πράξεσιν ἢ οκελῶν cet. Ep. VII. 343. A: κύκλος ἕκαστος τῶν ἐν ταῖς πράξεσιν (germ. *wirklich*) γραφομένων. Gorg. 450. B: περὶ χειρουργίας τε καὶ τοιαύτας πράξεις. Theaet. 177. A: διὰ τὰς ἀδίκους πράξεις. Polit. 280. D: τὰς βίᾳ πράξεις. Tim. 19. C: κατὰ τὰς ἐν τοῖς ἔργοις πράξεις καὶ κατὰ τὰς ἐν τοῖς λόγοις διερμηνεύσεις. Legg. X. 904. A: ἐμψύχους οὔσας τὰς πράξεις ἁπάσας. Charm. 163. C: ἐργασίας τε καὶ πράξεις. D: τὰς τῶν ἀγαθῶν ποιήσεις πράξεις (ὅτι καλοίης). *exactio. Prot. 328. B: τὸν τρόπον τῆς πράξεως τοῦ μισθοῦ τοιοῦτον πεποίημαι. Pol. IV. 425. D: τελῶν τινὲς ... πράξεις.

πρᾶος (πραΰς, unde fem. πραεῖα al.), *mitis, clemens, humanus.* Phaedr. 243. C: πρᾶος τὸ ἦθος. Pol. I. 354. A: ἐπειδή μοι πρᾶος ἐγένου. VIII. 566. E: πᾶσιν ἴλεώς τε καὶ πρᾶος εἶναι προσποιεῖται. Tim. 53. C: ὁ μὲν αἵματος ὀρὸς πρᾶος. Pol. II. 375. C: πραεῖα φύσις. Euthyd. 303. D: τόδε ... ἕτερον δημοτικόν τι καὶ πρᾶον ἐν τοῖς λόγοις ὄτι cet. Legg. I. 645. A: ἅτε ... τοῦ λογισμοῦ ... πρᾴου ... καὶ οὐ βιαίου (ὄντος). Theaet. 144. A: πρᾶον ... εἶναι διαφερόντως. Pol. VI. 500. A. Legg. VII. 792. E: τὸ ... εὐμενὲς πρᾶόν τε τιμῶσα. Pol. II. 375. C: ἅμα πρᾶον καὶ μεγαλόθυμον ἦθος. VIII. 562. D: ἂν μὴ πάνυ πρᾶοι ὦσι. Tim. 18. A. Legg. X. 888. A: ἐν πραέσι λόγοις. XI. 930. A: μὴ πραέσιν ἤθεσι κεκραμένους. Pol. II. 375. C: πράους (opp. χαλεπούς). VI. 501. E. Legg. V. 735. E: ὁ πραότερος ... τῶν καθαρμῶν. Men. 100. B: ἵνα πραότερος ᾖ. Tim. 85. A: πραότερον (τὸ λευκὸν φλέγμα). Legg. I. 629. D: πολὺ πραότερον (πολέμου γένος) ἐκείνου. VII. 815. E: πραοτέρας τὰς ἡδονὰς κεκτημένον ἐκείνων. IX. 867. B: πραοτέρας (τὰς τιμωρίας). XI. 930. A: πραότερα τρόπων ἤθη. Crit. 49. B: πραότερα (πάσχειν). Pol. VI. 493. B: ὁπότε χαλεπώτατον ἢ πραότατον ... γίγνεται (θρέμμα). Phaed. 116. C: πραότατον ... ἄνδρα. Legg. IV. 720. A: τὸν πραότατον ... τρόπον. V. 735. D. Pol. II. 375. E: ὡς οἷόν τε πραοτάτους εἶναι. Legg. IX. 863. D.

πραότης, ἡ, *mansuetudo, clementia.* Pol. VIII. 558. A:

Digitized by Google

ἡ πραότης ἐνίων τῶν δικασθέντων οὐ κομψή; Def. 412. D. Theaet. 144. B: μετὰ πολλῆς πραότητος. Crat. 406. A: ἀπὸ τῆς πραότητος τῆς θεοῦ. Tim. 71. C: πραότητός τις ἐκ διανοίας ἐπίπνοια. Critia 120. E: πραότητι μετὰ φρονήσεως ... χρώμενοι. Conv. 197. D: πραότητα μὲν ὁρίζων, ἀγριότητα δ' ἐξορίζων.

πράσιμος, ὁ ἡ, *venalis*. Legg. VIII. 847. E: ὅσα ζῶα ξύμπαντα πράσιμα cet.

πράσιος, ὁ ἡ, *viridis*. Tim. 68. C: πράσιον (χρῶμα).

πρᾶσις, ἡ, *venditio*. Legg. VIII. 849. B: τῶν ζώων ἔστω πρᾶσις. C. Soph. 224. A: τῆς τῶν σιτίων καὶ ποτῶν πράσεως. Pol. VII. 525. C. Legg. VIII. 850. B. XI. 915. D. Soph. 223. D: ὠνὴ καὶ πρᾶσει. 224. B: πρᾶσιν. Pol. II. 371. D. Legg. VIII. 849. B: πρᾶσιν ... ποιείσθωσαν. D. XI. 915. E.

πρατῆρ, ὁ, *venditor*. Legg. XI. 915. D: ἀναγέτω ... ὁ ἔχων εἰς πρατῆρα.

πράττω, *facio; ago, perago; gero; perficio, impetro;* cum adv., v. c. εὖ, *rem bene gero, bene mecum agitur*. Conv. 216. A: (ὅτι) τὰ ... Ἀθηναίων πράττω. Pol. III. 397. E: ἐπειδὴ ἕκαστος ἓν πράττει. V. 463. E: ὅτι τὸ ἐμὸν εὖ πράττει. VI. 505. E: τούτου ἕνεκα πάντα πράττει. Apol. 28. B: πότερον δίκαια ἢ ἄδικα πράττει. Alc. I. 116. B: ὅστις καλῶς πράττει, οὐχὶ καὶ εὖ πράττει; Pol. IV. 436. B: ἡ ὅλη τῇ ψυχῇ καθ' ἕκαστον αὐτῶν πράττομεν. Prot. 333. D: εἰ εὖ πράττουσιν ἀδικοῦντες. Conv. 193. B: ᾧ μηδεὶς ἐναντία πραττέτω. Pol. III. 407. A: ὃ εἰ μὴ πράττοι. Euthyd. 281. C. Charm. 173. D: ὅτι ... ἐπισταμένως ἂν πράττοντες εὖ ἂν πράττοιμεν καὶ εὐδαιμονοῖμεν. Euthyd. 280. C: ἆρ' ἂν οὗτοι εὖ πράττοιεν διὰ τὴν κτῆσιν —; Polit. 301. B: ὅταν μήτε κατὰ νόμους ... πράττῃ τις εἰς ἄρχων. Pol. X. ad fin. (ἵνα) εὖ πράττωμεν. Prot. 326. D: ἵνα μὴ ... εἰκῇ πράττωσιν. Alc. I. 127. B: ὅταν τὰ αὑτῶν ἕκαστοι πράττωσιν. C. Prot. 313. A: τὰ σὰ ἢ εὖ ἢ κακῶς πράττειν. 317. A: τοὺς δυναμένους ἐν ταῖς πόλεσι πράττειν (*aliquid perficere*). 319. A: τὰ τῆς πόλεως ... πράττειν καὶ λέγειν. Phaed. 82. D: οὐ δεῖν ἐναντία φιλοσοφίᾳ πράττειν. Conv. 173. A: δεῖν πάντα μᾶλλον πράττειν ἢ φιλοσοφεῖν. Pol. I. 352. A: ἀδύνατον αὐτὸν πράττειν ποιήσει στασιάζοντα cet. Legg. I. 628. D: ἄριστα πράττειν τότε. Apol. 31. D: τὰ πολιτικὰ πράττειν. Charm. 163. B: οὐ ταὐτὸν καλεῖς τὸ ποιεῖν καὶ τὸ πράττειν; B: ἐργάζεσθαι καὶ πράττειν. Euthyd. 284. C: λέγειν ἄρα πράττειν τε καὶ ποιεῖν ἐστίν; Phaedr. 247. A: πράττων ἕκαστος αὐτῶν τὸ αὑτοῦ. Crit. 47. B: τοῦτο πράττων (*sedulo agens*). Epin. 982. D: τοτὲ μὲν ἕτερα, ἄλλοτε δὲ ἄλλα πρᾶττον. Pol. V. 463. E: ἑνός τινος ἢ εὖ ἢ κακῶς πράττοντος. Polit. 301. E: μὴ μετὰ ἐπιστήμης πραττούσης τὰς πράξεις. Pol. VI. 495. D: καίπερ οὕτω πραττούσης φι-

Digitized by Google

λοσοφίας. Ep. III. 318. D: *κακῶς πράττοντα διὰ σέ.* Polit. 307. E: *τὰ σφέτερ' αὐτῶν πράττοντες.* Pol. VII. 527. A: *ὡς ... πράττοντές τε καὶ πράξεως ἕνεκα πάντας τοὺς λόγους ποιούμενοι* cet. Critia 111. E: *πραττόντων αὐτὸ τοῦτο.* Charm. 172. A: *τοὺς ... εὖ πράττοντας εὐδαίμονας εἶναι.* Pol. IV. 433. D: *ὅτι τὸ αὑτοῦ ἕκαστος εἷς ὢν ἓν ἔπραττε.* 435. B. Lach. 179. D: (*ὅτι*) *τὰ ... τῶν ἄλλων πράγματα ἔπραττον.* Pol. X. 603. C: *ἐκ τοῦ πράττειν ἢ εὖ οἰομένους ἢ κακῶς πεπραγέναι.* Apol. 33. A: *εἴ πού τι ἔπραξα.* Phaedr. 232. D: (*ὅσοι*) *δι' ἀρετὴν ἔπραξαν* (*impetrarunt*) *ὧν ἐδέοντο.* 233. A. Pol. V. 353. D: *ὃ ἄλλῳ τῶν ὄντων οὐδ' ἂν ἑνὶ πράξαις.* IX. 592. B: *πράξειεν.* Prot. 319. B: *ἐπειδὰν ... περὶ οἰκοδομίας τι δέῃ πρᾶξαι τὴν πόλιν.* Pol. I. 351. C. III. 412. E. Gorg. 514. A: *δημοσίᾳ πράξαντες τῶν πολιτικῶν πραγμάτων.* Legg. I. 642. E. Pol. VII. 519. E: *ὅπως ἔν τι γένος ἐν πόλει διαφερόντως εὖ πράξει.* II. 366. B: *πράξομεν κατὰ νοῦν.* Crit. 45. D: (*οἳ*) *ὅ τι ἂν τύχωσι τοῦτο πράξουσι* (*ea conditione erunt quae forte eis obveniet*). Phaed. 58. E: *εὖ πράξειν.* 95. C. Pol. I. 346. E: *ὁ μέλλων καλῶς τῇ τέχνῃ πράξειν.* V. 466. D: *τὰ ... βέλτιστα πράξειν.* VII. 517. C: *τὸν μέλλοντα ἐμφρόνως πράξειν.* Alc. II. 141. D: *ὡς ἀγαθόν τι πράξοντες.* Prot. 357. E: *ὅτι ἀμαθίᾳ πράττεται.* Pol. V. 473. B: *τί ποτε νῦν κακῶς ἐν ταῖς πόλεσι πράττεται* cet. Legg. VI. 785. A: *ταύτῃ πραττέσθω.* Charm. 173. B: *ἄλλο τι κατὰ τὰς ἐπιστήμας ἂν πράττοιτο.* Conv. 182. A: *ὁτιοῦν πρᾶγμα πραττόμενον.* Pol. II. 370. B: *τὸ πραττόμενον* (*id quod geritur* et *gerendum est*). Legg. II. 660. B: *ἃ σὺ νῦν λέγεις οὐκ οἶδα πραττόμενα* (*fieri*). Ep. II. 311. D: *εἴ τι ... μὴ καλῶς πέπρακται.* IV. 321. A. Legg. IX. 866. D: *θυμῷ ... πέπρακται.* XII. 960. B: *πεπράχθαι.* Euth. 8. E. Crit. 44. C. Polit. 267. C: *πεπραγμένον.* Legg. IX. 866. D. E. XI. 937. E: *πεπραγμένα.* Ep. VII. 341. D: *τί τούτου κάλλιον ἐπέπρακτ' ἂν ἡμῖν* cet. Tim. 23. E: *τῶν ἔργων αὐτοῖς ὃ κάλλιστον ἐπράχθη.* Crit. 44. C: *ὥσπερ ἂν πραχθῇ.* Pol. V. 473. A: *ἆρ' οἷόν τέ τι πραχθῆναι ὡς λέγεται —;* Legg. XII. 960. B. Prot. 324. B: *οὐ γὰρ ἂν τό γε πραχθὲν ἀγένητον θείη.* Tim. 21. A: *πραχθὲν ὄντως ὑπὸ τῆσδε τῆς πόλεως.* Legg. IX. 867. C. B: *οἱ τῷ θυμῷ πραχθέντες φόνοι.* Euth. 4. E: *τούτων οὕτω πραχθέντων ὡς σὺ λέγεις.* Menex. 236. E: *ἔργων ... εὖ πραχθέντων.* Conv. 218. B: *τοῖς ... τότε πραχθεῖσι.* Phaedr. 241. A: *ὑπομιμνήσκων τὰ πραχθέντα καὶ λεχθέντα.* 272. E. Pol. V. 452. A: *εἰ πράξεται ἢ λέγεται.* Verb. Prot. 356. B: *ταύτην τὴν πρᾶξιν πρακτέον.* Pol. V. 457. A: *καὶ οὐκ ἄλλα πρακτέον.* Demod. 381. E: *ἃ πρακτέον ἐστί.* Prot. 356. C: *οὐ πρακτέα.* Demod. 381. E: *ποῖα πρακτέα ἐστὶν ὑμῖν.* — Med. *exigo* (proprie germ. *eintreiben*, dein in univ. *fordern*). Prot. 328. B: *ἀξίως τοῦ μισθοῦ ὃν πράττομαι.* Apol. 19. D:

Digitized by Google

ὡς ἐγὼ ... χρήματα πράττομαι. Legg. VI. 762. B: *τὴν διπλασίαν πραττέσθω τὸν ὑποφεύγοντα.* 774. B. Men. 91. D: *τούτων φανερῶς χρήματα ἀξιοῦσι πράττεσθαι.* Soph. 222. E: (*τὸ*) *τὸν μισθὸν πραττόμενον τροφὴν ἑαυτῷ μόνον.* 223. A: (*τὸ*) *μισθὸν ... νόμισμα πραττόμενον.* Pol. I. 347. B: *φανερῶς πραττόμενοι ... μισθόν.* Eryx. 402. D. Men. 90. D: *τοὺς μισθὸν πραττομένους.* E. 91. B. Apol. 31. C: *ὡς ἐγώ ποτέ τινα ἢ ἐπραξάμην μισθὸν ἢ ᾔτησα.* Gorg. 511. D: *οὐ ὀβολοὺς ἐπράξατο.* E. Hipp. mai. 282. C: *ἀργύριον μισθὸν πράξασθαι.* Etiam activ. (Legg. VI. 774. D: *πραττόντων ... οἱ ταμίαι τούτοιν τοῖν θεοῖν.*) et pass. Legg. XI. 921. C: *ὃς ἂν ... μισθοὺς μὴ ἀποδιδῷ ... διπλοῦν πραττέσθω.*

πραΰνω, mitigo; sedo, restinguo. Polit. 268. B: *κηλῶν πραΰνειν.* Legg. V. 731. D: *ἀνείργοντα τὸν θυμὸν πραΰνειν.* Menex. 247. D: *ἰωμένους καὶ πραΰνοντας.* Pol. IX. 572. A: *τὸ θυμοειδὲς πραΰνας.* VI. 501. C: *ἔτι μᾶλλον ... πραΰνονται.* IV. 440. D: *πρὶν ἂν ... πραϋνθῇ.*

πράως, mansuete, clementer; etiam *aequo animo, aeque.* Phaed. 88. E: (*πότερον*) *πράως ἐβοήθει τῷ λόγῳ.* Soph. 217. D: *πάντες ... ὑπακούσονταί σοι πράως.* Pol. IX. 589. C: *πείθωμεν ... αὐτὸν πράως.* Tim. 17. D: *δικάζοντας ... πράως τοῖς ἀρχομένοις ὑπ' αὐτῶν.* 74. C. Legg. I. 634. C: *μὴ χαλεπῶς, ἀλλὰ πράως ἀποδεχώμεθα ἀλλήλων.* X. 888. A: *λέγωμεν πράως.* Crit. 43. B: *ὡς ῥᾳδίως αὐτὴν καὶ πράως φέρεις.* Lys. 211. E: *ἐγὼ ... πρὸς μὲν ταῦτα πράως ἔχω* (nos: *ich bin — gleichgültig*). Phaedr. 268. E: *ἅτε μουσικὸς ὢν πραότερον* (*εἴποι ἄν*). Gorg. 489. D: *πραότερόν με προδίδασκε.* Phaed. 94. D: *τὰ δὲ πραότερον* (*κολάζουσα*). Men. 75. D. Menex. 249. C. Pol. III. 387. E: *φέρειν ... ὡς πραότατα.*

πρεπόντως, decenter, pulchre; convenienter. Crit. 439. B: *εἰ πρεπόντως εἴργασται.* Conv. 198. A: *ὡς πρεπόντως τοῦ νεανίσκου εἰρηκότος.* Pol. III. 399. A. Tim. 19. C. Legg. III. 699. D: *σαυτῷ τε καὶ τῇ πατρίδι πρεπόντως.* VII. 815. B: *ἐν χορείαις πρεπόντως εὐνόμων ἀνδρῶν.* VIII. 835. B: *πρεπόντως ἑκάστοις θύμασιν.* IX. 861. C: *τό τε πρεπόντως τεθὲν ... καὶ τὸ μή.* Menex. 239. C: *ἐς ᾠδὰς ... αὐτὰ θεῖναι πρεπόντως τῶν πραξάντων.*

πρέπω, decorus sum, convenio; impers. *decet, convenit, consentaneum est* vel *accommodatum* (cum dat. vel cum accus. et inf.). Prot. 312. B: *ὡς ... τὸν ἐλεύθερον* (int. *ἐπὶ παιδείᾳ μανθάνειν*) *πρέπει.* Phaed. 61. C: *μάλιστα πρέπει μέλλοντα ἐκεῖσε ἀποδημεῖν διασκοπεῖν* cet. 92. C. 114. D: *τὸ ... ταῦτα διϊσχυρίσασθαι οὕτως ἔχειν ... οὐ πρέπει νοῦν ἔχοντι ἀνδρί.* Conv. 196. E: *ᾧ δὴ πρέπει τιμᾶς μαρτυρίῳ χρῆσθαι.* Pol. V. 474. D: *ἀνδρὶ ... ἐρωτικῷ οὐ πρέπει ἀμνημονεῖν ὅτι* cet. Tim. 29. D. Legg. VI. 775. B. Alc. I. 135.

Digitized by Google

ροῖν τὴν θύραν ... ἐπήραξε. Theaet. 155. E: *οὗ ἂν δύνωνται ἀπρὶξ τοῖν χεροῖν λαβέσθαι.* Riv. 132. B. Conv. 213. D: *τὼ χεῖρε μιᾶς ἀπέχεται.* 214. D. 219. B: *περιβαλὼν τὼ χεῖρε τῷ δαιμονίῳ* cet. 211. A: *οὐδὲ χεῖρες* cet. Pol. IV. 439. B. Tim. 45. A: *σκέλη ... χεῖρές τε.* Tim. 33. D: *χειρῶν.* Legg. VII. 796. A. IX. 869. C: *ἀμυνόμενος ἄρχοντα χειρῶν πρότερον.* Prot. 339. B: *χερσί τε καὶ ποσὶ ... τετράγωνον* (Sim.). Theaet. 198. D: *ἔχειν ἐν ταῖς χερσίν.* Crat. 422. E: *σημαίνειν ταῖς χεροὶ καὶ τῇ κεφαλῇ* cet. Pol. IV. 432. D: *ὥσπερ οἱ ἐν ταῖς χερσὶν ἔχοντες ζητοῦσιν ἐνίοτε ὃ ἔχουσι.* VII. 517. B: *εἴ πως ἐν ταῖς χερσὶ δύναιντο λαβεῖν.* Legg. I. 633. B: *ἐν ... ταῖς πρὸς ἀλλήλους ταῖς χερσὶ μάχαις.* VII. 796. B: *κεναῖς χερσὶν οὐκ ᾠήθη δεῖν ἀθύρειν.* IX. 880. A: *ἀμυνέσθω ... ἄνευ βέλους ψιλαῖς ταῖς χερσίν.* Prot. 352. A: *ἰδὼν τὸ πρόσωπον καὶ τὰς χεῖρας ἄκρας.* Conv. 189. E: *χεῖρας ... τέτταρας εἶχε.* 205. E. Pol. IV. 436. C: *κινοῦντα ... τὰς χεῖράς τε καὶ τὴν κεφαλήν.* Legg. VIII. 831. A: *καθαρὸν εἶναι χεῖρας.*

χειρόκμητος, ὁ ἡ, manu factus. Locr. 94. E: *ἀφορῶντος οὐκ ἐς χειρόκμητα παραδείγματα.*

χεῖρον, v. *χείρων.*

χειρονομῶ, manus iacto (tanquam pugnans). Legg. VIII. 830. C: *ἢ τί ποτε ἄλλο τὴν τοῦ χειρονομεῖν μελέτην ἄν τις φαίη γεγονέναι* (praec. *σκιαμαχεῖν*);

χειροποίητος, ὁ ἡ, manu factus. Critia 118. C: *ὡς χειροποίητον ἔργον.*

χειροτέχνης, opifex. Pol. X. 597. A: *τὸ τοῦ κλινουργοῦ ἔργον ἢ ἄλλου τινὸς χειροτέχνου.* Prot. 328. A: *τῶν χειροτεχνῶν.* Pol. X. 596. C. III. 405. A: *τοὺς φαύλους τε καὶ χειροτέχνας.* Apol. 22. C.

χειροτεχνία, ἡ, ars quae manu exercetur (germ. *Handwerk*). Pol. IX. 590. C: *βαναυσία δὲ καὶ χειροτεχνία διὰ τί ... ὄνειδος φέρει;* VIII. 547. D: *χειροτεχνιῶν.* Polit. 304. B: *τῶν περὶ χειροτεχνίας ἐπιστημῶν.*

χειροτεχνικός, ἡ, όν, ad opifices pertinens vel *spectans,* fem. *opificis ars.* Polit. 259. C: *τῆς χειροτεχνικῆς καὶ ὅλως πρακτικῆς.* Pol. IV. 425. D: *χειροτεχνικῶν ... ξυμβολαίων.* Phil. 55. D: *ἐν ... ταῖς χειροτεχνικαῖς.*

χειροτονία, ἡ, suffragia. Legg. VI. 755. D: *οἷς ἂν ἡ πλείστη χειροτονία γίγνηται.* Id. 756. B. II. 659. B: *τὸν νικῶντα διακρίνων χειροτονίαις.*

χειροτονῶ, suffragiis creo. Legg. VI. 756. A: *χειροτονείτω ... τὸ ἱππικὸν αὐτούς.* 763. E. 755. E: *χειροτονούντων ... στρατηγοὺς μὲν καὶ ἱππάρχους πάντες.* Polit. 300. A: *χειροτονηθέντα ἢ λαχόντα ἐκ τύχης.* Legg. VI. 763. E: *δέκα ἐκ τῶν ἄλλων χειροτονηθέντας.*

χειροῦμαι, in potestatem redigo; domo, capio vel *potior.* Soph. 219. C: *τὰ μὲν χειροῦται λόγοις καὶ πράξεσι.* Ep.

Digitized by Google

VII. 336. A: *τοὺς δὲ χειρούμενος.* Legg. VII. 824: *ἀλλ' οὐ φιλοπόνου ψυχῆς νίκη χειρουμένων τὴν ἄγριον τῶν θηρίων ῥώμην.* Soph. 219. C: *τοῖς χειρουμένοις.* Legg. XI. 919. A: *αἰχμαλώτους κεχειρωμένους* (*captos*). Menex. 240. B: *τούτους ἐχειρώσατο ... ἐν τρισὶν ἡμέραις.* Pol. IV. 422. C: *ἆρά γε οὐ καὶ πλείονς χειρώσαιτ' ἂν τοιούτους ὁ τοιοῦτος;* Legg. VIII. 838. D. Euthyd. 290. B: *ἐπειδὰν ... χειρώσωνται τοῦτο ὃ ἂν θηρεύωνται.* Ib. *ὅσον θηρεῦσαι καὶ χειρώσασθαι.* Theaet. 165. E: *χειρωσάμενος.* Menex. 242. E: *τοὺς προεστῶτας τῶν ἄλλων Ἑλλήνων χειρωσάμενοι.* Hipp. mai. 287. A: *εἰ χειρωσόμεθα τὸν ἄνδρα.* Soph. 222. A: *τῶν τούτοις θρέμμασι χειρωσόμενος.*

χειρούργημα, τό, opus (nos *Händearbeit*). Gorg. 450. B: *τῆς δὲ ῥητορικῆς οὐδέν ἐστι τοιοῦτον χειρούργημα* (quae Gorgiae verba sunt).

χειρουργία, ἡ, operatio quae manu fit. Polit. 277. C: *γραφῆς ... καὶ συμπάσης χειρουργίας.* Riv. 135. B: *ὅσα ξυνέσεως ἔχεται, μὴ ὅσα χειρουργίας.* Polit. 258. D: *περὶ τεκτονικὴν ... καὶ σύμπασαν χειρουργίαν.* 259. E: *παρεχόμενός γέ που γνῶσιν, ἀλλ' οὐ χειρουργίαν.* 277. C: *διὰ χειρουργιῶν* (opp. *λέξει καὶ λόγῳ*). Gorg. 450. B: *περὶ χειρουργίας τε καὶ τοιαύτας πράξεις.* Conv. 203. A: *ὁ δὲ ἄλλο τι σοφὸς ὢν ἢ περὶ τέχνας ἢ χειρουργίας τινὰς βάναυσος.*

χειρουργῶ, facio (manu), *exstruo.* Critia 117. C: *πολλοὶ δὲ κἤποι καὶ πολλὰ γυμνάσια ἐκεχειρούργητο.*

χείρων, ὁ ἡ, peior, deterior, vilior, inferior (*cedens*); etiam *gravior* (*ärger* vel *schlimmer*). Prot. 338. B: *εἴτε γὰρ χείρων ἔσται ἡμῶν ὁ αἱρεθείς* cet. Theaet. 162. C: *μηδὲν χείρων εἰς σοφίαν ὁτουοῦν ἀνθρώπων ἢ καὶ θεῶν.* Ax. 366. E: *φόβος χείρων.* Tim. 89. A: *ἡ δὲ ὑπ' ἄλλου* (*κίνησις*) *χείρων.* Crat. 429. B: *οὐδὲ δὴ ὄνομα ... δοκεῖ σοι κεῖσθαι τὸ μὲν χεῖρον, τὸ δὲ ἄμεινον;* Cum neg. *οὐ χεῖρον*, propr. *nicht so schlecht*, h. e. *gut, zweckdienlich.* Phaed. 185. A: *οὐ γὰρ χεῖρον πολλάκις ἀκούειν.* Phaedr. 248. E: *χείρονος* (*μοίρας μεταλαμβάνει*). Pol. III. 396. D: *τῷ χείρονι.* Prot. 338. B: *οὐκ ὀρθῶς ἂν ἔχοι τὸν χείρω τῶν βελτιόνων ἐπιστατεῖν.* Gorg. 486. B: *χείρονα* (Eurip.). Crat. 390. A: *οὐδὲν χείρω νομοθέτην εἶναι τὸν ἐνθάδε ἢ τὸν ὁπουοῦν ἄλλοθι.* Conv. 174. C. Pol. X. 618. D: *τόν τε χείρω καὶ τὸν ἀμείνω βίον.* Ax. 368. D: *θανάτων μυρίων χείρω* (*τὴν ἀπότευξιν*). Pol. II. 381. B: *ἢ ἐπὶ τῷ χείρονι καὶ τὸ αἴσχιον ἑαυτοῦ* (*μεταβάλλει ἑαυτόν*); V. 459. B. Tim. 75. B. Legg. IV. 720. E: *κατὰ τὸ χεῖρον ... καὶ ἀγριώτερον.* Crat. 429. A: *ζωγράφοι εἰσί που οἱ μὲν χείρους, οἱ δὲ ἀμείνους;* Pol. I. 334. B: *βλαπτόμενοι δ' ἵπποι βελτίους, ἢ χείρους γίγνονται;* Legg. VIII. 840. C: *τούτων ὄντες χείρονες.* Soph. 246. D: *τὸ παρὰ χειρόνων* (*ὁμολογηθέν*). Pol. V. 460. C. I. 335. D: *εἰς τὴν ἀνθρωπείαν ἀρετὴν χείρους γίγνεσθαι.* IV. 421. E: *τοὺς*

Digitized by Google

υἱεῖς ... χείρους δημιουργοὺς διδάξεται. VIII. 545. A. Legg. VIII. 840. D. Men. 94. B: *ἱππέας ... ἐδίδαξεν οὐδενὸς χείρους Ἀθηναίων.* Legg. V. 747. D: *ἀναδιδοῦσαν (τὴν τροφὴν) ... ἀμείνω καὶ χείρω.* Polit. 303. A: *πασῶν ... τῶν πολιτειῶν ... χειρίστη.* Tim. 89. A: *χειρίστη ... ἡ κειμένου τοῦ σώματος (κίνησις).* Pol. VIII. 567. C: *οἱ μὲν γὰρ τὸ χείριστον ἀφαιροῦντες λείπουσι τὸ βέλτιστον* cet. — Neutr. *χεῖρον*, adverbii partes agens, est *minus.* Phaed. 85. B: *οὐ χεῖρον ἐκείνων τὴν μαντικὴν ἔχειν παρὰ τοῦ δεσπότου.* Legg. X. 909. D: *καὶ τούτων ... ἐπιμελείσθων μηδὲν χεῖρον τῶν ἄλλων.* XI. 928. A. Lach. 180. C: *τοῦτο ... κἂν ἐγὼ ἔχοιμι εἰπεῖν οὐ χεῖρον Λάχητος.* Etiam *deterius*, h. e. *miserius.* Pol. I. 344. E: *εἴτε χεῖρον εἴτε βέλτιον βιωσόμεθα ἀγνοοῦντες ὃ σὺ φῂς εἰδέναι.* VII. 519. D: *χεῖρον ζῆν.*

χειρωνακτικός, i. q. *χειρώναξ*, *opifex.* Ax. 368. B: *τοὺς χειρωνακτικοὺς ἐπέλθωμεν καὶ βαναύσους.*

χείρωσις, *ἡ*, *subigendi actio.* Ep. VII. 332. A: *τῆς τοῦ Μήδου τε καὶ εὐνούχου χειρώσεως.*

χειρωτικός, *ἡ*, *όν*, *potiundi peritus*; fem. et neutr. *potiundi facultas* vel *peritia.* Soph. 219. D: *τὸ δὲ λοιπὸν ἢ κατ' ἔργα ἢ κατὰ λόγους χειρούμενον ξύμπαν χειρωτικὸν ἂν εἴη.* 221. B: *κτητικοῦ (μέρος) ... χειρωτικόν.* 223. B: *(τέχνης) χειρωνικῆς.*

χελιδών, *ἡ*, *hirundo.* Phaed. 85. A: *ἡ χελιδών.*

χερσαῖος, *α*, *ον*, *terrester.* Tim. 40. A: *πεζὸν ... καὶ χερσαῖον τέταρτον (εἶδος).* Soph. 223. B: *χερσαίας (ζωοθηρίας).* Etiam *mediterraneus.* Legg. IV. 704. B: *πότερον ἐπιθαλαττίδιος ἔσται τις, ἢ χερσαία (ἡ πόλις).*

χέω, *fundo.* Med. Tim. 83. E: *ὅσα τε ἄλλα τοιαῦτα σῶμα τὸ καθ' ἡμέραν χεῖται καθαιρόμενον.* Pol. III. 388. B: *χευάμενον* (Hom.). Intrans. est Lat. *fundi* vel *diffundi.* Ax. 371. D: *εὔκρατος ἀὴρ χεῖται.* Pass. Locr. 101. B: *ἃ ... πολλὰ καὶ κεχυμένα (φωνὰ) μεγάλα.* Tim. 66. C: *τὰ ... παρὰ φύσιν ξυνεστῶτα ἢ κεχυμένα.*

χήν, *ὁ* et *ἡ*, *anser.* Gorg. 471. C: *χῆνα ... διώκοντα ἐμπεσεῖν (εἰς φρέαρ).*

χηνοβωτία, *ἡ*, *anserum pastus.* Polit. 264. C: *χηνοβωτίας* (sic Cl. c. plurimis al. Vulgo *χηνοβοτίας*) *γε καὶ γερανοβωτίας ... πέπυσαι.*

χῆτις, *ἡ*, et *χῆτος*, *τό*, *inopia*; unde dat. *χήτει*, vern. *aus Mangel.* Phaedr. 239. D: *ἀλλοτρίοις χρώμασι καὶ κόσμοις χήτει οἰκείων κοσμούμενον.*

χθές, *heri.* Conv. 174. A: *χθὲς ... αὐτὸν διέφυγον τοῖς ἐπινικίοις.* Pol. I. init. *κατέβην χθὲς εἰς Πειραιᾶ.* Tim. 17. A: *τῶν χθὲς μὲν δαιτυμόνων, τὰ νῦν δ' ἑστιατόρων.* Euthyd. 271. A. Menex. 236. A. al. Cum art. et subst. Soph. init. *κατὰ τὴν χθὲς ὁμολογίαν ... ἥκομεν* cet. Tim. 26. E: *ἀντὶ τῶν χθὲς λόγων.* Cum v. *πρώην* coni. est Lat. *non ita*

Digitized by Google

pridem. Gorg. 470. D: *τὰ ... ἔχθὲς* (Paris. FI *χθὲς*) *καὶ πρώην γεγονότα.* Legg. III. 677. D: *χθὲς καὶ πρώην γεγονότα.*

χθιζά, i. q. *χθές.* Alc. II. 141. D: *ἔνιά γε χθιζά τε καὶ πρώϊζα* (v. *πρωϊζά*) *γεγενημένα* (quod ex Hom. ductum).

χθόνιος, α, ον, subterraneus, infernus. Pol. X. 619. E: *πορείαν οὐκ ἂν χθονίαν καὶ τραχεῖαν πορεύεσθαι, ἀλλὰ λείαν τε καὶ οὐρανίαν.* Praec. ponitur in *diis inferis.* Legg. VIII. 828. C: *τὸ τῶν χθονίων* (seq. *θεοὺς οὐρανίους*). XII. 959. C: *ὡς εἰς ἄψυχον χθονίων βωμιόν.* IV. 717. A: *τοῖς χθονίοις ... θεοῖς.* Locr. 105: *σὺν δαίμοσι παλαιναίοις χθονίοις τε.*

χθών, ἡ, terra. Pol. II. 379. D. et III. 386. D. (Hom.).

χιλίανδρος, ὁ ἡ, mille viris constans. Polit. 292. E: *ἐν χιλιάνδρῳ πόλει.*

χιλιάς, ἡ, mille (subst.). Phaedr. 256. E: *ἐννέα χιλιάδας ἐτῶν περὶ γῆν κυλινδουμένην.*

χιλιετής, ὁ ἡ, mille annos complens. Phaedr. 249. A: *τρίτῃ περιόδῳ τῇ χιλιετεῖ.* Pol. X. 621. D: *ἐν τῇ χιλιετεῖ* (Par. A. ex corr. *χιλιέτει*; Schneid. *χιλιέτει*) *πορείᾳ.* 615. A: *εἶναι δὲ τὴν πορείαν χιλιετῆ* (Par. A. *χιλίετιν*; an *χιλιέτιν*? Schneid. dedit *χιλιέτη*).

χίλιοι, αι, α, mille. Legg. III. 677. D: *χίλια ... ἔτη.* X. 894. E: (*ὅταν*) *οὕτω δὴ χίλια ἐπὶ μυρίοις γίγνηται τὰ κινηθέντα.* Polit. 292. E: *χιλίων ἀνδρῶν.* Pol. IV. 423. A. Critia 119. B: *διακοσίων καὶ χιλίων νεῶν.* Legg. III. 699. B. Tim. 23. D: *προτέραν ... ἔτεσι χιλίοις.* Legg. XII. 945. A: *χιλίας* (*μνᾶς*). XII. 953. E. Apol. 36. A: *κἂν ὤφλε χιλίας δραχμάς.*

χιλιοστός, ή, όν, millesimus. Phaedr. 249. B: *τῷ ... χιλιοστῷ* (*ἔτει*). Pol. X. 615. C: *ἤδη χιλιοστὸν ἔτος εἰς ἐκεῖνον τὸν χρόνον.*

χιτώνιον, τό (*χιτών*), *tunicula.* Ep. XIII. 363. A: *χιτώνια τρία ἐπταπήχη.*

χιτωνίσκος, ὁ, tunica. Hipp. min. 368. C: *τὴν ζώνην ... τοῦ χιτωνίσκου.* Legg. XII. 954. A: *γυμνὸς ἢ χιτωνίσκον ἔχων.* Hipp. min. 368. C: *τὸ ἱμάτιον* (*αὐτὸς*) *ὑφῆναι καὶ τὸν χιτωνίσκον.*

χιών, ἡ, nix. Phaed. 106. A: *ἡ χιών.* Tim. 59. E: *τὸ ... ὑπὲρ γῆς ... χιών.* Locr. 99. C. Phaed. 110. C: *γύψου ἢ χιόνος λευκοτέραν.* 103. C: *χιόνα.* D.

χλευάζω, illudo (aliquem). Eryx. 397. D: *κατεγέλα τε καὶ ἐχλεύαζε.*

χλιδή, ἡ, deliciae. Conv. 197. D: *ἁβρότητος, χλιδῆς ... πατήρ.*

χλόη, ἡ, gramen. Tim. 80. E: *τὰ μὲν καρπῶν, τὰ δὲ χλόης.* Critia 115. A: *ῥιζῶν ἢ χλόης* cet.

χοιρίδιον, τό, porculus. Euthyd. 298. D: *καὶ σὺ ἄρα ἀδελφὸς εἶ τῶν ... χοιριδίων.*

Digitized by Google

χοῖρος, ὁ, *porcus*. Pol. II. 378. A: *θυσαμένους οὐ χοῖρον, ἀλλά τι μέγα καὶ ἄπορον θῦμα.*

χολή, ἡ, *bilis*. Pol. VIII. 564. B: *οἷον περὶ σῶμα φλέγμα τε καὶ χολή.* Locr. 102. D. Tim. 83. C: *ὅσα χολῆς εἴδη λέγεται.* Ib. *μελαίνης χολῆς ὀξείας τε.* 84. D. 85. A. 83. C: *χολήν.* 85. B. 82. E: *χολὰς ... καὶ φλέγματα ἴσχει παντοῖα.*

χολώδης, ὁ ἡ, *biliosus*. Tim. 83. B: *χολῶδες (χρῶμα).* 86. E: *χολώδεις χυμοί.* 71. B: *χολώδη χρώματα.*

χορδή, ἡ, *chorda*. Theaet. 206. B: *ποίας χορδῆς εἴη (ἡ φθόγγος).* Phaedr. 268. D: *ἐπιστάμενος ὡς οἷόν τε ὀξυτάτην καὶ βαρυτάτην χορδὴν ποιεῖν.* Phaed. 86. A: *ἡ λύρα καὶ αἱ χορδαί.* 85. E: *χορδῶν.* Pol. I. 349. E: *ἐν τῇ ἐπιτάσει καὶ ἀνέσει τῶν χορδῶν.* VII. 531. B. Legg. VII. 812. D: *σαφηνείας ἕνεκα τῶν χορδῶν.* Lys. 209. B. Pol. VII. 531. B: *τοὺς ταῖς χορδαῖς πράγματα παρέχοντας.* Legg. II. 670. D: *ταῖς χορδαῖς ταῖς τῶν μελῶν.* Phaed. 86. A: *τὰς χορδὰς θνητοειδεῖς οὔσας.* B. Pol. III. 412. A: *τὸν τὰς χορδὰς ἀλλήλαις ξυνιστάντα.*

χορεία, ἡ, *saltatio, chorea* vel *chorus*. Legg. II. 654. B: *χορεία ... ὀρχήσεις τε καὶ ᾠδὴ τὸ ξύνολόν ἐστιν.* 665. A. 672. E: *ὅλη ... χορεία ὅλη παίδευσις ἦν ἡμῖν.* VIII. 831. B. VII. 796. B: *εὐφρανθεῖσα τῇ τῆς χορείας παιδιᾷ.* Ax. 366. A: *τῆς ἐκείσε διαίτης καὶ χορείας ὀργιωμένης.* Legg. VII. 790. E: *ταύτῃ τῇ τῆς κινήσεως ἅμα χορείᾳ καὶ μούσῃ χρώμεναι.* Epin. 991. B: *χορείᾳ Μουσῶν εὐδαίμονι δεδομένῃ.* Legg. II. 654. C: *τὴν χορείαν* (sic Par. A. Vulgo *χορηγίαν*) *τε καὶ μουσικήν.* 672. B: *πᾶσαν τὴν μανικὴν ... χορείαν.* 673. D. Epin. 982. E: *πορείαν ... καὶ χορείαν πάντων χορῶν καλλίστην* cet. Legg. VI. 772. B: *θυσιῶν τε καὶ χορειῶν.* II. 655. B: *πότερον ἅπαντες πᾶσαις χορείαις ὁμοίως χαίρομεν —; VII. 799. A: χορείαις ποίαισι γεραίρειν τὴν τότε θυσίαν.* Pol. III. 412. B: *χορείας ... καὶ θήρας* cet. Tim. 40. C: *χορείας ... τούτων αὐτῶν (τῶν θεῶν)* cet. Legg. II. 655. D: *ἐπειδὴ μιμήματα τρόπων ἐστὶ τὰ περὶ τὰς χορείας* cet. VIII. 835. A.

χόρευμα, τό, *saltatio mores imitans*. Legg. II. 655. C: *οὐ γάρ που ἐρεῖ γέ τις ὡς ποτὲ τὰ τῆς κακίας ἢ ἀρετῆς καλλίονα χορεύματα.*

χορευτής, ὁ, *qui in choro est* vel *chorum sequitur*, pl. *saltatores e quibus chorus constat*. Phaedr. 252. D: *οὗ (θεοῦ) ἕκαστος ἦν χορευτής.* Conv. 173. A: *ἦ τὰ ἐπινίκια ἔθυεν αὐτός τε καὶ οἱ χορευταί.* Pol. II. 373. B: *ποιηταί τε καὶ τούτων ὑπηρέται, ῥαψῳδοί, ὑποκριταί, χορευταί* cet. Ion. 536. A: *ὁρμαθὸς πάμπολυς ... χορευτῶν τε καὶ διδασκάλων* cet. Alc. I. 125. D: *χρωμένων χορευταῖς.*

χορεύω, *salto* et *saltatione exprimo; in choro sum, in choreis versor* (pf. *versatus sum*). Euthyd. 277. E: *τούτῳ οὐδὲν*

Digitized by Google

ἄλλο ἢ χορεύετον περὶ σέ. Legg. II. 665. B: εἰ ἄρα οἱ ὑπὲρ τριάκοντα καὶ πεντήκοντα ... γεγονότες ἔτη ... χορεύουσιν. 657. D: ἆρ' οὖν οὐχ ἡμῖν οἱ ... νέοι αὐτοὶ χορεύειν ἑτοιμοι —; XII. 942. E: χορείας πάσας ... χορεύειν. Theaet. 173. D: ὅτι οὐχ ἡμεῖς ἐν τῷ τοιῷδε χορεύοντες (cf. 173. B: τοὺς τοῦ ἡμετέρου χοροῦ) τῶν λόγων ὑπηρέται cet. Legg. VI. 771. E: χορεύοντάς τε καὶ χορευούσας κόρους καὶ κόρας. Epin. 982. E: πορείαν ... καὶ χορείαν πάντων χορῶν καλλίστην ... χορεύοντα (τὰ ἄστρα). Legg. II. 654. B: τὸν δὲ πεπαιδευμένον ἱκανῶς κεχορευκότα θεῖον. 655. D: τὰ ῥηθέντα ... ἢ καὶ ὁπωσοῦν χορευθέντα.

χορηγία, ἡ, *chori instructio.* Ep. XIII. 362. A: ἐάν τι δέῃ ἐμὲ ἀναλίσκειν εἰς χορηγίαν ἤ τι τοιοῦτον. Etiam Euthyd. 277. D. pro χορεία Cl. Θr scribunt χορηγία (v. χορηγῶ). Legg. II. 654. C. pro χορηγίαν Par. A. c. al. dat χορείαν.

χορηγός, ὁ, *chori dux.* Legg. II. 665. A: θεοὺς ... συγχορευτάς τε καὶ χορηγοὺς ἡμῖν δεδωκέναι τόν τε Ἀπόλλωνα καὶ Μούσας.

χορηγῶ, *choro praesum, chorum duco* vel *rego*; met. *praeeo, duco* et *primus instituo.* Theaet. 179. D: οἱ ... τοῦ Ἡρακλείτου ἑταῖροι χορηγοῦσι (i. q. ἡγοῦνται) τούτου τοῦ λόγου μάλα ἐῤῥωμένως. Gorg. 482. B: χορὸν ᾧ χορηγοίην. Legg. II. 654. A: ᾗ δὴ κινεῖν τε ἡμᾶς καὶ χορηγεῖν ἡμῶν (sic Par. A. c. al. Vulgo ἡμῖν) τούτους (τοὺς θεούς).

χορικός, ή, όν, *choricus.* Legg. II. 670. A: τῆς ... χορικῆς μούσης.

χοροδιδασκαλία, ἡ, *chori docendi* vel *moderandi ars.* Alc. I. 125. E: ἡ χοροδιδασκαλία (ποιεῖ ἄρχειν κοινωνούντων ᾠδῆς). Eadem D. dicitur χοροδιδασκαλικὴ.

χοροδιδάσκαλος, ὁ, *chori magister.* Legg. II. 655. A: ὥσπερ οἱ χοροδιδάσκαλοι ἀπεικάζουσιν. VII. 812. E: οἷα τοὺς χοροδιδασκάλους καὶ ἃ δεῖ διδάσκειν.

χορός, ὁ, *chorus.* Legg. II. 664. C: ὁ Μουσῶν χορὸς ὁ παιδικός. 665. A: ὁ ... τοῦ Ἀπόλλωνος καὶ τῶν Μουσῶν χορός. B: Διονύσου πρεσβυτῶν χορός. VII. 800. C: χορὸς οὐχ εἷς, ἀλλὰ πλῆθος χορῶν ἥκει. Euthyd. 276. B: ὥσπερ ὑπὸ διδασκάλου χορὸς ἀποσιμήναντος. Pol. VIII. 560. E: ὕβριν καὶ ἀναρχίαν ... λαμπρὰς μετὰ πολλοῦ χοροῦ κατάγουσιν ἐστεφανωμένας. Prot. 327. D: ὥσπερ οἱ ἐν ἐκείνῳ τῷ χορῷ μισάνθρωποι. Phaedr. 230. C: θερινόν τε καὶ λιγυρὸν ὑπηχεῖ τῷ τῶν τεττίγων χορῷ. Legg. II. 671. A: τῷ τοῦ Διονύσου χορῷ. Gorg. 482. B: χορὸν ᾧ χορηγοίην. Pol. II. 383. C: καὶ χορὸν οὐ δώσομεν (*nec fabulae docendae potestatem faciemus.* Legg. VII. 817. D: δώσομεν ὑμῖν χορόν. II. 665. E: οἱ περὶ νίκης χοροὶ ἀγωνιζόμενοι. VIII. 835. E: θυσίαι ... καὶ ἑορταὶ καὶ χοροί. Ax. 371. B: κύκλιοι χοροί. Gorg. 501. E: ἡ τῶν χορῶν διδασκαλία. Pol. V. 475. D: ὥσπερ ... ἀπομεμισθωκότες τὰ ὦτα ἐπακοῦσαι πάντων τῶν

Digitized by Google

χορῶν. Legg. VI. 764. E: *περὶ τὴν τῶν χορῶν παιδίαν*. 765. A: *τὸν ... χορῶν ἄρχοντα καὶ διαθετῆρα αἱρεῖσθαι χρὴ* cet. B: *τῶν χορῶν ἀρχέτω*. VIII. 834. E: *ἄμιλλαι χορῶν*. Epin. 982. E. Conv. 197. D: *ἐν ἑορταῖς, ἐν χοροῖς* cet. Legg. II. 656. C. Theag. 123. E: *ἢ τῶν ᾀδόντων ἐπιστάμεθα ἐν τοῖς χοροῖς ἄρχειν*. Pol. IX. 580. B: *καθάπερ ... εἰσῆλθον, ἔγωγε ὥσπερ χορὸς κρίνω, ἀρετῇ* cet. Legg. II. 654. C: *χορούς τε ὠνομακέναι παρὰ* (v. *τὸ παρὰ*) *τῆς χαρᾶς ἔμφυτον ὄνομα*. VII. 800. E: *χορούς τινας ἐξωθεν μεμισθωμένους ᾠδούς*. VIII. 828. C: *χορούς τε καὶ ἀγῶνας μουσικούς*. *ut Lat. *chorus*, est *agmen*, *turba* vel *numerus* (germ. *Kreis* et *Schaar*). Phaedr. 247. A: *φθόνος γὰρ ἔξω θείου χοροῦ ἵσταται*. Theaet. 173. B: *τοὺς ... τοῦ ἡμετέρου χοροῦ ... διελθόντες* cet. Euthyd. 279. C: *τὴν δὲ σοφίαν που χοροῦ τάξομεν* (*quonam in numero reponemus*); *ἐν τοῖς ἀγαθοῖς, ἢ πῶς λέγεις;* Legg. I. 641. B: *παιδὸς ἑνὸς ἢ καὶ χορὸν παιδαγωγηθέντος κατὰ τρόπον ἑνός*. Prot. 315. B: *ἦσαν δέ τινες καὶ τῶν ἐπιχωρίων ἐν τῷ χορῷ*. Phaedr. 250. B: *ὅτε σὺν εὐθαίμονι χορῷ μακαρίαν ὄψιν τε καὶ θέαν ... εἶδον* cet. Polit. 291. C: *κατιδὼν τὸν περὶ τὰ τῶν πόλεων πράγματα χορόν*. Pol. VI. 490. C: *αὐτῇ χορὸν κακῶν ἀκολουθῆσαι*. Ib. *τὸν ἄλλον τῆς φιλοσόφου φύσεως χορὸν τί δεῖ πάλιν ἐξ ἀρχῆς ἀναγκάζοντα τάττειν;*

χορτάζω, *saginо*. Pol. II. 372. D: *τί ἂν αὐτὰς* (int. *ὗς*) *ἄλλο ἢ ταῦτα ἐχόρταζες;* IX. 586. A: *εἰς τραπέζας* (*κεκυφότες*) *βόσκονται χορταζόμενοι καὶ ὀχεύοντες* cet.

χορῳδία, *ἡ*, *chori cantus*. Legg. VI. 764. E: *τῶν ... περὶ χορῳδίαν ἄλλους* (*ἀθλοθέτας πρέπον ἂν εἴη γίγνεσθαι*).

χοῦς, *ὁ*, *congius*. Theaet. 173. D: *οἱ τῆς θαλάττης λεγόμενοι χόες* (i. e. *congiorum in mari numerus*). Hipp. mai. 288. D: *τῶν ἓξ χόας χωρουσῶν* (*χυτρῶν*).

χόω, vid. *χώννυμι*.

χραίνω, *coloro*. Legg. VI. 769. A: *τοῦ χραίνειν ἢ ἀποχραίνειν*. **polluo*. Legg. XI. 917. B: *θεῶν ὀνόματα μὴ χραίνειν ῥᾳδίως*.

χρεία, *ἡ*, *indigentia*; *necessitas* (*Bedürfniss*). Polit. 311. A: *οὐ ... ἂν ἑνὸς ἄρχοντος χρεία ξυμβαίνῃ*. Pol. II. 369. C: *ποιήσει δὲ αὐτὴν* (*τὴν πόλιν*) *... ἡ ἡμετέρα χρεία*. 371. A: *ὧν ἂν αὐτοῖς χρεία*. Tim. 33. D: *αἷς* (*χερσὶ*) *οὔτε λαβεῖν ... χρεία τις ἦν*. Legg. VI. 783. A: *τρίτη ... ἡμῖν καὶ μεγίστη χρεία* cet. VIII. 834. B: *ἵππων ... ἡμῖν χρεία ... οὔτε τις πολλῶν οὔτε πολλὴ* (*οὔτε πολλῶν οὔτε τις πολλή?*). 849. E: *σκευῶν ὁπόσων ἑκάστοισι χρεία*. Ion. 541. C: *ἢ ῥαψῳδοῦ ... δοκεῖ σοι ... πολλὴ χρεία εἶναι τοῖς Ἕλλησι —;* Dem. 382. A: *τίς χρεία τῶν ψήφων ἐστὶν ὑμῖν;* Tim. 92: *ὡς οὐδὲν ἔτι ποδῶν χρείας οὔσης*. Legg. VI. 782. D: *ὁρῶ πάντα τοῖς ἀνθρώποις ἐκ τριττῆς χρείας καὶ ἐπιθυμίας ἠρτημένα*. VIII. 849. A: *μή τις ἀδίκῃ τι τῆς τῶν ἀνθρώπων*

Digitized by Google

χρείας. Pol. VIII. 566. E: ἵν' ἐν χρείᾳ ἡγεμόνος ὁ δῆμος ᾖ. Legg. I. 630. E: οὗ ... ἂν ἕκαστος ἐν χρείᾳ γίγνηται, τοῦτο ζητεῖ νῦν παραθέμενος. VIII. 848. A: ὅσοι χρείᾳ τινὶ πόλεως ... εἰσφοιτῶσι ἑκάστοτε. De lege 318. B: τοὺς τῶν θεῶν ἐν χρείᾳ ὄντας. Polit. 274. C: διὰ τὸ μιγδεμίαν αὐτοὺς χρείαν πρότερον ἀναγκάζειν. Phil. 52. B: ὅταν τις στερηθεὶς λυπηθῇ διὰ τὴν χρείαν. Pol. III. 410. B: δικαστικῆς εἰς χρείαν ἰέναι. Legg. III. 697. D: ὅταν ... εἰς χρείαν τοῦ μάχεσθαι περὶ ἑαυτῶν τοὺς δήμους ἀφικνῶνται. 702. B: σχεδὸν γὰρ εἰς χρείαν αὐτῶν ἐγωγ' ἐλήλυθα τὰ νῦν. VI. 783. C: ἴσως ... χρείαν ποτ' αὐτῶν παντων ἕξομεν. XII. 965. B: ἧς χρείαν ἔχομεν. Menex. 244. D: ὡς ... ἀφίκοντο εἰς χρείαν τῆς πόλεως τῶν τε Ἑλλήνων οἱ πρῶτοι cet. Ep. VI. 322. C: οἰκεῖτε ... γείτονές τε ὑμῖν αὐτοῖς καὶ χρείαν ἔχοντες cet. Pol. II. 369. D: πρώτη ... καὶ μεγίστη τῶν χρειῶν ἡ τῆς τροφῆς παρασκευὴ τοῦ εἶναί τε καὶ ζῆν ἕνεκα. Phaedr. 239. D: ἐν πολέμῳ τε καὶ ἄλλαις χρείαις, ὅσαι μεγάλαι. Pol. II. 373. D: οὐκοῦν καὶ ἰατρῶν ἐν χρείαις ἐσόμεθα πολὺ μᾶλλον οὕτω διαιτώμενοι —; Legg. XI. 918. C: πᾶσιν ἐπικουρίαν ταῖς χρείαις ἐξευπορεῖν. Ib. ὅταν εἰς χρείας τε καὶ ἐπιθυμίας τινῶν ἐμπίπτῃ. *usus et utendi ratio. Crat. 408. A: τὸ εἴρειν λόγου χρεία ἐστί. Pol. V. 451. C: οὐκ ἔστ' ἄλλη ὀρθὴ παίδων τε καὶ γυναικῶν κτῆσίς τε καὶ χρεία ἢ cet. Soph. 239. D: ἐκ ταύτης τῆς χρείας τῶν λόγων (*ex hac disputandi ratione*). Polit. 272. D: περί τε ἐπιστημῶν καὶ τῆς τῶν λόγων χρείας. Tim. 76. E: τῆς τῶν ὀνύχων χρείας. Legg. IV. 722. B: εἰς ἀρετὴν τῆς χρείας. VI. 772. B: ἀπὸ τῆς χρείας μανθάνοντας. VIII. 846. C: τῆς ἀναγκαίας αὐτῶν χρείας ἐμπείρως ἴσχοντες. Gorg. 457. D: ἐκεῖνος ... ἐπὶ δικαίᾳ χρείᾳ παρέδωκεν, ὁ δ' ἐναντίως χρῆται. Phaed. 87. C: ἱματίου ἐν χρείᾳ τε ὄντος καὶ φορουμένου. Pol. II. 372. A: εἰ μή που ἐν αὐτῶν τούτων χρεία τινὶ τῇ πρὸς ἀλλήλους. Legg. II. 652. E: ἐν τῇ κατ' ὀρθὸν χρείᾳ τῆς ἐν οἴνῳ συνουσίας. VII. 796. C: πολέμου τ' ἐν χρείᾳ cet. Phaed. 111. A: ὅπερ ἡμῖν τὸ ὕδωρ καὶ ἡ θάλαττά ἐστι πρὸς τὴν ἡμετέραν χρείαν, τοῦτο cet. Polit. 298. D: τοῖς ναυτικοῖς ὀργάνοις εἰς τὴν τῶν πλοίων χρείαν. Pol. I. 330. C: κατὰ τὴν χρείαν (*propter usum*). 333. A: τὴν δικαιοσύνην πρὸς τίνος χρείαν ἢ κτῆσιν ἐν εἰρήνῃ φαίης ἂν χρήσιμον εἶναι; II. 371. E: πωλοῦντες τὴν τῆς ἰσχύος χρείαν. X. 601. D: (πρὸς) τὴν χρείαν ... πρὸς ἣν ἂν ἕκαστον ᾖ πεποιημένον ἢ πεφυκός. Legg. II. 657. C: τὴν τῇ μουσικῇ καὶ τῇ παιδιᾷ μετὰ χορείας χρείαν ὀρθὴν εἶναι τοιῷδέ τινι τρόπῳ. VI. 785. B: ἣν ἂν δοκῇ χρείαν δεῖν χρῆσθαι πρὸς τὰ πολεμικά (cf. IX. 868. B.). VII. 794. D: πρὸς τὴν τῶν ὅπλων χρείαν. XI. 917. E: τοῖς περὶ τὴν τῆς ἀγορᾶς χρείαν. Euthyd. 281. A: περὶ τὴν χρείαν ... τῶν ἀγαθῶν. Eryx. 401. B: τὰ πρὸς τίνα χρείαν χρήσιμα χρῆ-

Digitized by Google

σθαι χρήματά ἐστι. 404. B: πρὸς τὴν τοῦ σώματος χρείαν. Clit. 407. E: μήτ' ἄλλην χρείαν μηδεμίαν χρῆσθαι τῷ σώματι. Legg. VI. 776. C: ἐναντία ... ταῖς χρείαις καὶ κατὰ τὰς χρείας. V. 738. D: ὅπως ἂν ... εἰς ... τὰς χρείας ἑκάστας εὐμάρειαν παρασκευάζωσι. — Ut Lat. usus, etiam est utilitas. Gorg. 480. A: τίς ἡ μεγάλη χρεία ἐστὶ τῆς ῥητορικῆς; 481. B. Eryx. 394. D: τῆς δὲ σοφίας ἥ τε χρεία ὀλίγου ἀξία cet. 400. E: ὅτι οὐδεμία αὐτοῖς χρεία οἰκίας ἐστίν. Gorg. 474. D: πρὸς τὴν χρείαν ... πρὸς ὃ ἂν ἕκαστον χρήσιμον ᾖ. Conv. 204. C: τοιούτων ὢν ὁ Ἔρως τίνα χρείαν ἔχει τοῖς ἀνθρώποις; Legg. VIII. 833. A: οὐδετέρα τὴν μεγίστην ἔχει χρείαν. Epin. 975. E: εὐδοκιμωτάτη πρὸς χρείαν. Lys. 215. B: (οἱ) μήτε παρόντες χρείαν αὐτῶν (v. αὐτῶν) ἔχουσι. 220. D: αὐτὸ δὲ ἑαυτοῦ ἕνεκα οὐδεμίαν χρείαν ἐχέτω. Pol. I. 331. B: ἔχει δὲ καὶ ἄλλας χρείας πολλάς.

χρεμετίζω, hinnio. Phaedr. 254. D: βιαζόμενος, χρεμετίζων cet. Pol. III. 395. B: ἵππους χρεμετίζοντας.

χρέος (att. χρέως), τό, debitum, aes alienum. Polit. 267. A: καθαπερεὶ χρέος (χρέως? v. Fisch. not. ad Polit. p. 120. et Lob. ad Phryn. p. 391.) ἀπέδωκάς μοι τὸν λόγον. Legg. XII. 958. B: πρὶν ἂν ἐκπληρώσῃ τὸ χρέος ἅπαν τῷ νικήσαντι. Ax. 367. B: κἂν μή τις θᾶττον ὡς χρέος ἀποδιδῷ τὸ ζῆν. Legg. III. 684. E: χρέα μεγάλα καὶ παλαιὰ οὐκ ἦν. Pol. VIII. 566. A: χρεῶν ... ἀποκοπάς (Id. Legg. III. 684. E. V. 736. C.). E: χρεῶν ... ἠλευθέρωσε. Legg. III. 684. D: χρεῶν διάλυσιν. IV. 717. B: χρεῶν πάντων πρεσβύτατα. Pol. VIII. 555. D: οἱ μὲν ὀφείλοντες χρέα cet.

χρεών, τό, necessitas; fatum. Phaedr. 255. A: ἥ τε ἡλικία καὶ τὸ χρεὼν ἤγαγεν εἰς τὸ προέσθαι αὐτὸν εἰς ὁμιλίαν. Ax. 364. C: ὅπως ἀστενακτὶ ἐς τὸ χρεὼν ἴῃ. 365. B: εἰς τὸ χρεὼν ἀπίεναι. Cum v. εἶναι et absol. necesse est, oportet. Soph. 220. C: πληκτικὴν ... θήραν ἡμᾶς προσειπεῖν ... νῦν χρεών. Tim. 26. A: ὅτι χρεὼν εἴη με πρὸς ἐμαυτὸν ... ἀναλαβόντα λέγειν οὕτως. 55. D: ὧν ἔμπειρον χρεὼν εἶναι. Critia 107. B: μίμησιν ... τὰ παρὰ πάντων ἡμῶν ῥηθέντα χρεὼν που γενέσθαι. E. Legg. I. 633. A: ἆρ' αὐτὰ καλεῖν χρεών ἐστι. II. 661. E: τί οὖν τὸ μετὰ τοῦτ' εἰπεῖν ἡμᾶς χρεών; III. 688. A: ὡς χρεὼν εἴη τὸν ἀγαθὸν νομοθέτην πάντα πολέμου χάριν τὰ νόμιμα τιθέναι. 698. A: διεξελθεῖν ἡμᾶς χρεών. VI. 779. A: εἰ τεῖχός γέ τι χρεὼν ἀνθρώποις εἶναι. VII. 808. A: εἴτ' οὖν νόμιον εἴτ' ἐπιτήδευμα τὸ τοιοῦτον καλεῖν ἐστὶ χρεών. IX. 861. C: δυοῖν ... θάτερον ἡμᾶς χρεών, ἢ μὴ λέγειν cet. 877. E: τοῦτον ... καθήρασθαι ... τὸν οἶκον χρεὼν ἔστω. XI. 928. D: μείζους (διαφοραὶ) ἢ χρεών. Epin. 990. B: ὅπῃ δεῖ τε καὶ ὅπως χρεὼν μανθάνειν. al.

χρή, oportet; par est, convenit. Prot. 312. A: εἴπερ γε ἃ διανοοῦμαι χρὴ λέγειν. Soph. 236. E: ὅπως ... εἰπόντα

Digitized by Google

... ἐναντιολογία μὴ συνέχεσθαι, παντάπασιν ... χαλεπόν. Conv. 190. C: ἐβουλεύοντο ὅ τι χρὴ αὐτοὺς ποιῆσαι. Pol. I. 327. C: ὡς χρὴ ἡμᾶς ἀφεῖναι. III. 415. E: θύσαντες οἷς χρή. Alc. I. 110. B: τότε λέγοις τί σε χρὴ ποιεῖν; Euth. 4. C: πέμπει δεῦρο ἄνδρα πευσόμενον ὅ τι χρὴ ποιεῖν. Pol. III. 394. D: ὃ ἔλεγον ὅτι χρείη διομολογήσασθαι, πότερον cet. Ep. VII. 347. D. Gorg. 458. B: εἰ ... δοκεῖ χρῆναι ἐᾶν, ἐῶμεν ἤδη χαίρειν. Conv. 214. E. 218. C: ἔδοξέ μοι χρῆναι μηδὲν ποικίλλειν πρὸς αὐτόν, ἀλλ' cet. Pol. I. 328. E. II. 369. B. al. Impf. ἐχρῆν et χρῆν, *oportebat* (germ. *es sollte*) et *oportet*. Prot. 335. C: ἀλλὰ σὲ ἐχρῆν ἡμῖν συγχωρεῖν τὸν ἀμφότερα δυνάμενον. Legg. I. 631. B: ἐχρῆν εἰπεῖν cet. Epin. 982. C. Apol. 34. A. Gorg. 458. B: ἴσως μέντοι χρῆν ἐννοεῖν καὶ τὸ τῶν παρόντων. Polit. 257. C: περὶ Θεαιτήτου τοῦδε τί χρῆν δρᾶν με; 307. E: ἀκαιρότερον ὄντα (τὸν ἔρωτα) ἢ χρῆν. Conv. 181. D: χρῆν ... καὶ νόμον εἶναι cet. E. Pol. I. 328. C: χρῆν μέντοι. 343. A. Legg. I. 630. D: πῶς χρῆν ἡμᾶς λέγειν; Apol. 17. A: ὡς χρῆν ὑμᾶς εὐλαβεῖσθαι μὴ cet. 33. D. Lach. 181. B. Ep. III. 316. D: ἐν οἷς τί χρῆν ποιεῖν ἐμέ;

χρήζω, *indigeo*. Locr. 99. A: (τὸ συνδέομενον) δύο (int. *media*) χρήσει (v. χρήζει).

χρῆμα, τό, pl. *opes; pecunia*. Prot. 311. D: ἂν ... ἐξικνῆται τὰ ἡμέτερα χρήματα. Pol. IV. 422. D: τὰ τῶν ἄλλων χρήματα. VIII. 568. D: ἐὰν ... ἱερὰ χρήματα ᾖ ἐν τῇ πόλει. Eryx. 400. E: ὅσα ... τυγχάνει χρήσιμα ὄντα ἡμῖν, ταῦτα χρήματα cet. 401. A: ὅτι ... ἀναγκη χρήσιμα εἶναι, ἐάντερ μέλλῃ χρήματα ἔσεσθαι cet. 406. Prot. 325. C: χρημάτων ... θηρευσις. Gorg. 477. A: ἐν χρημάτων κατασκευῇ. B: χρημάτων καὶ σώματος καὶ ψυχῆς. Phaed. 78. A: μήτε χρημάτων φειδομένους μήτε πόνων. Theaet. 144. D: πρὸς τὴν τῶν χρημάτων ἐλευθεριότητα θαυμαστός. 167. C: ἄξιος πολλῶν χρημάτων τοῖς παιδευθεῖσι. Pol. I. 331. A: τὴν τῶν χρημάτων κτῆσιν. II. 366. C: ᾧ τις δύναμις ὑπάρχει ψυχῆς ἢ χρημάτων ἢ σώματος ἢ γένους. IV. 442. A: χρημάτων ... ἀπλουστότατον. VIII. 548. B: φειδωλοὶ χρημάτων. Legg. XII. 855. D: χρημάτων εἰσφορᾶς περὶ τῷ κοινῷ. Lach. 195. E: ἀποβολὴ χρημάτων. Conv. 219. E: ὅτι χρήμασι ... πολὺ μᾶλλον ἄτρωτος ἦν πανταχῇ ἢ σιδήρῳ ὁ Αἴας. Pol. I. 344. B: πρὸς τῶν πολιτῶν χρήμασι. VI. 492. D: ὅτι τὸν μὴ πειθόμενον ἀτιμίαις τε καὶ χρήμασι καὶ θανάτοις κολάζουσιν. Legg. III. 695. D: χρήμασι καὶ δωρεαῖς τὸν Περσῶν δῆμον προσαγόμενος. IV. 721. B: ζημιοῦσθαι χρήμασί τε καὶ ἀτιμίᾳ. Prot. 311. D: τελοῦντες τὰ χρήματα. Gorg. 466. C: ἀφαιροῦνται χρήματα. 479. C: χρήματα παρασκευαζόμενοι. 511. E: καὶ αὐτὸν καὶ παῖδας καὶ χρήματα καὶ γυναῖκας. Soph. 233. B: αὐτοῖς ... χρήματα δίδους. Polit. 298. B: χρήματα μισθὸν λαμβάνοντες.

Digitized by Google

Conv. 183. A: *χρήματα βουλόμενος παρά του λαβεῖν.* 208. C: *χρήματα ἀναλίσκειν.* Pol. I. 330. C: *περὶ τὰ χρήματα σπουδάζουσιν.* 338. B: *χρήματα γὰρ οὐκ ἔχω.* VIII. 551. E: *χρήματα μὴ ἐθέλειν εἰσφέρειν.* 553. C: *χρήματα ξυλλέγεται.* Legg. V. 739. C: *κοινὰ ... χρήματα ξύμπαντα.* Apol. 19. D: (*ὡς ἐγὼ*) *χρήματα πράττομαι.* Crit. 44. E: *συχνὰ χρήματα* (*ἀποβαλεῖν*). Menex. 245. C: *εἰ μέλλοι χρήματα παρέξειν.* Eryx. 401. B: *τῶν ... χρησίμων γένος τι ὃ καλοῦμεν χρήματα.* *res. Theaet. 161. D: *πάντων χρημάτων ἄνθρωπον μέτρον εἶναι.* 161. C. Legg. VIII. 847. B: *μήτε ἐξαγομένων χρημάτων μήτε εἰσαγομένων.* 849. E: *τῶν ... ἄλλων χρημάτων πάντων καὶ σκευῶν* cet. Pol. III. 398. A: *μιμεῖσθαι πάντα χρήματα.* Legg. VIII. 849. E: *χρήματα νομίσματος* (*ἀλλάττεσθαι*). Saepius amplificatio est orationis. Gorg. 485. B: *πικρόν τί μοι δοκεῖ χρῆμα εἶναι.* Theaet. 209. E: *ἡδὺ χρῆμ' ἂν εἴη τοῦ καλλίστου τῶν περὶ ἐπιστήμης λόγου.* Alc. II. 147. C: *ὑπερφυῶς ... τὸ χρῆμα ὡς δυσγνωστον φαίνεται.* Men. 97. E: *αἱ δόξαι ... καλὸν τὸ χρῆμα.* Ion. 534. B: *κοῦφον γὰρ χρῆμα ποιητής ἐστι* cet. Pol. VIII. 567. E: *ἦ μακάριον ... λέγεις τυράννου χρῆμα, εἰ* cet. Prot. 361. B: *ὡς πάντα χρήματά ἐστιν ἐπιστήμη.*

χρηματίζομαι, quaestui deditus sum, mercaturam facio al. Pol. VIII. 556. B: *χρηματίζοιντο ... ἂν ἧττον ἀναιδῶς ἐν τῇ πόλει.* Legg. XII. 949. E: *ἥτις (πόλις) ἂν μήτε χρηματίζηται πλὴν τὸν ἐκ γῆς χρηματισμὸν* cet. Pol. VIII. 550. E: *προϊόντες εἰς τὸ πρόσθεν τοῦ χρηματίζεσθαι.* Legg. V. 741. E. Euthyd. 304. C. Gorg. 452. E: *ἄλλῳ ἀναφανήσεται χρηματιζόμενος καὶ οὐχ αὑτῷ.* Soph. 225. E: *ἀπὸ τῶν ἰδιωτικῶν ἐρίδων χρηματιζόμενον.* Gorg. 467. D: (*οἱ*) *τὸν ἄλλον χρηματισμὸν χρηματιζόμενοι.* Pol. VIII. 551. E: *χρηματιζομένους.* Legg. V. 744. E: *χρηματισάμενος.* Pol. I. 330. C: *οἱ χρηματισάμενοι.*

χρηματισμός, ὁ, quaestus vel *pecuniae conficiendae studium; mercatura.* Pol. II. 357. C: *ἰάτρευσίς τε καὶ ὁ ἄλλος χρηματισμός.* Legg. V. 741. B: *χρηματισμὸς γὰρ οὔτ' ἔνεστι σφοδρα ἐν τῇ τοιαύτῃ κατασκευῇ.* Pol. VI. 498. A: *τὸ μεταξὺ οἰκονομίας καὶ χρηματισμοῦ.* VIII. 547. C. Legg. VI. 705. A: *ἐμπορίας ... καὶ χρηματισμοῦ διὰ καπηλείας ἐμπιπλᾶσα αὐτήν.* VIII. 847. D: *καπηλείαν ... ἕνεκα χρηματισμοῦ.* XII. 952. E: *χρηματισμοῦ χάριν ἐμπορευόμενοι.* Apol. 36. B: *ἀμελήσας ... χρηματισμοῦ τε καὶ οἰκονομίας* cet. Gorg. 467. D: (*οἱ*) *τὸν ἄλλον χρηματισμὸν χρηματιζόμενοι.* Conv. 205. D: *κατὰ χρηματισμόν.* Pol. VII. 562. B: *ἡ τῶν ἄλλων ἀμέλεια διὰ χρηματισμόν.* Legg. V. 743. D: *μητ' αὖ χρηματισμὸν πολὺν διὰ βαναυσίας καὶ τόκων* cet. XII. 949. E: *πλὴν τὸν ἐκ γῆς χρηματισμόν.* Ep. VIII. 355. A: *μὴ πρὸς χρηματισμὸν καὶ πλοῦτον τρέψοντες τὰς γνώμας ὑμῶν* cet. Legg. V. 741. E: *μηδ' ἐξεῖναι χρηματίζεσθαι τῶν ἀνελευθέ-*

Digitized by Google

ρων χρηματισμῶν μηδενὶ μηδένα. Pol. V. 465. C: ὅσας (ἀλγηδόνας) ἐν παιδοτροφίᾳ καὶ χρηματισμοῖς διὰ τροφὴν οἰκετῶν ἀναγκαίαν ἴσχουσι.

χρηματιστής, ὁ, *quaestus faciendi studiosus* et *peritus*. Gorg. 452. A: ἰατρός τε καὶ παιδοτρίβης καὶ χρηματιστής. B. E. Pol. I. 330. B: μέσος τις γέγονα χρηματιστὴς τοῦ τε πάππου καὶ τοῦ πατρός. IV. 434. A: δημιουργὸς ὢν ἢ τις ἄλλος χρηματιστὴς φύσει. Alc. I. 131. C: οὐ τὰ αὑτοῦ ἄρ' ἔτι πράττει ὁ χρηματιστής. Pol. IX. 583. A: ἡ τοῦ χρηματιστοῦ (ἡδονή). I. 345. C: πρὸς τὸ ἀποδόσθαι (βλέποντα), ὥσπερ χρηματιστήν. VIII. 555. A: τὸν φειδωλόν τε καὶ χρηματιστήν. E: οἱ ... χρηματισταί.

χρηματιστικός, ή, όν, *quaestus studiosus*; in re pos. *ad negotiatorem pertinens* vel *eius proprius*; fem. et neutr. *quaestus faciendi peritia*. Pol. IX. 581. C: ὁ χρηματιστικός. Gorg. 477. E: οὐ χρηματιστική (τέχνη); 478. A: χρηματιστικὴ ... πενίας ἀπαλλάττει. Euthyd. 307. A: χρηματιστικὴ καὶ ῥητορική cet. Soph. 219. C: τὸ ... χρηματιστικόν. 225. D. E: τὸ χρηματιστικὸν γένος. Id. Pol. IV. 441. A. Phaedr. 248. D: ἢ τινος οἰκονομικοῦ ἢ χρηματιστικοῦ. Gorg. 478. B: χρηματιστικῆς, ἰατρικῆς, δίκης. Euthyd. 289. A: οὔτε χρηματιστικῆς οὔτε ἰατρικῆς (ἐπιστήμης). Pol. IV. 434. C: χρηματιστικοῦ ... γένους. Conv. 173. C: τοὺς τῶν πλουσίων καὶ χρηματιστικῶν (λόγους). Pol. VIII. 558. D: ὅσαι (ἡδοναὶ) ἀναλωτικαὶ μέν, χρηματιστικαὶ δὲ μή. 561. D: χρηματιστικούς (ἂν ποτε ζηλώσῃ). III. 415. E: στρατιωτικὰς γε, ἀλλ' οὐ χρηματιστικὰς (οἰκήσεις). VIII. 559. C: ἐκείνας (ἐπιθυμίας) ... χρηματιστικὰς διὰ τὸ χρησίμους πρὸς τὰ ἔργα εἶναι. IX. 572. C: τὰς χρηματιστικὰς ἐπιθυμίας τιμῶντι μόνας.

χρηματοφθορικός, ή, όν, *rei conficiendae* vel *consumendae peritus*; neutr. *rei conficiendae peritia*. Soph. 225. D: τοῦ ... ἐριστικοῦ τὸ μὲν χρηματοφθορικόν, τὸ δὲ χρηματιστικὸν ὂν τυγχάνει.

χρήσιμος, ὁ ἡ et η, ον, *utilis*; *accommodatus*, *idoneus*. Pol. I. 333. B: χρήσιμος κοινωνὸς εἰς πεττῶν θέσιν. Gorg. 480. B: ἐπὶ ... τὸ ἀπολογεῖσθαι ... οὐ χρήσιμος οὐδὲν ἡ ῥητορικὴ ἡμῖν. 481. B. Pol. I. 333. C: τότε χρήσιμος ἐπ' αὐτῷ ἡ δικαιοσύνη. D. Charm. 165. C: τί ἡμῖν χρησίμη ἐστὶ (ἰατρικὴ ἐπιστήμη) καὶ τί ἀπεργάζεται; Gorg. 474. D: πρὸς ὃ ἂν ἕκαστον χρήσιμον ᾖ. Phaed. 96. A. Pol. II. 382. C: ποτε καὶ τῷ (v. τί) χρήσιμον —; III. 389. B: χρήσιμον (ψεῦδος) ὡς ἐν φαρμάκου εἴδει. Legg. I. 648. A: ἐσθ' ὅ τι (v. ὅτε) πρὸς ἀνδρείαν ἦν ἂν νομοθέτῃ χρήσιμον; Hipp. mai. 295. E: ὅτι τυγχάνει παντὸς ὂν μᾶλλον καλὸν τὸ χρήσιμον. Polit. 274. C: χρήσιμον ... αὐτὸν (τὸν μῦθον) ποιησόμεθα πρὸς τὸ κατιδεῖν ὅσον ἡμάρτομεν cet. Prot. 321. D: ἀμήχανον ... ἦν ἄνευ πυρὸς αὐτὴν (τὴν σο-

Digitized by Google

φίαν) κτητὴν τῷ ἢ χρησίμην γενέσθαι. Crat. 427. B: *τὴν δύναμιν χρήσιμον φαίνεται ἡγήσασθαι πρὸς τὴν μίμησιν τοῦ δεσμοῦ* cet. Pol. I. 333. A: *τὴν δικαιοσύνην πρὸς τίνος χρείαν ... φαίης ἂν χρήσιμον εἶναι;* Legg. IV. 722. D: *ἔχουσαί τινα ἐντεχνον ἐπιχείρησιν χρήσιμον πρὸς τὸ μέλλον περαίνεσθαι.* Polit. 279. C: *πάλιν ἦλθομεν ἐπὶ τὸ νῦν χρήσιμον.* Pol. III. 411. B: *χρήσιμον ἐξ ἀχρήστου ... ἐποίησεν.* Id. VII. 530. C. Prot. 326. B: (*ἵνα*) *χρησιμοι ὦσιν εἰς τὸ λέγειν τε καὶ πράττειν.* Legg. VII. 796. D. Hipp. mai. 295. C: *οἳ (ὀφθαλμοὶ) ἂν ... χρήσιμοι πρὸς τὸ ἰδεῖν.* Men. 89. B: (*ἵνα*) *χρήσιμοι γίγνοιντο ταῖς πόλεσιν.* Pol. III. 399. D: *κατὰ πόλιν χρήσιμα (λύρα καὶ κιθάρα).* VII. 528. C: *καθ' ὅ τι χρήσιμα.* Eryx. 401. B. Critia 118. E: *πλῆθος ... τῶν ἐν τῷ πεδίῳ χρησίμων πρὸς πόλεμον ἀνδρῶν.* Riv. 136. B: *χρησίμους.* Pol. VIII. 559. C: *διὰ τὸ χρησίμους (ἐπιθυμίας) πρὸς τὰ ἔργα εἶναι.* Legg. V. 747. A. Charm. 165. A: *συμβουλὰς χρησίμους.* Legg. VII. 796. A: *οὐδὲν χρήσιμα ἐπὶ πολέμου κοινωνίαν ὄντα.* Ib. *εἰς πάντα ὄντα χρήσιμα.* Euthyd. 291. D: *πάντα χρήσιμα ποιεῖν.* Pol. I. 333. C: *ὁ δίκαιος χρησιμώτερος τῶν ἄλλων.* Conv. 190. D: *ἅμα ... χρησιμώτεροι ἡμῖν (ἔσονται).* Legg. VII. 819. C: *χρησιμωτέρους αὐτοὺς αὑτοῖς ... ἀπεργάζονται.* Pol. III. 413. E: *οἷος ... ἂν ὢν καὶ ἑαυτῷ καὶ πόλει χρησιμώτατος εἴη.* I. 331. B: *πλοῦτον χρησιμώτατον εἶναι.* Legg. I. 650. B: *τοῦτο ... ᾧ ἂν τῶν χρησιμωτάτων ἓν εἴη* cet. Riv. 136. C: *χρησιμωτάτους.*

χρῆσις, ἡ, usus. Men. 88. A: *ὅταν ... ὀρθὴ χρῆσις.* Eryx. 394. D: *τῆς ... οἰκίας ἡ ... χρῆσις πολλὴ τυγχάνει οὖσα καὶ ἀναγκαία.* Legg. II. 670. A: *θαυματουργία γίγνοιτ' ἂν τῆς χρήσεως.* Pol. I. 333. D: *ἡ δικαιοσύνη ... ἐν μὲν χρήσει ἄχρηστος, ἐν δὲ ἀχρηστίᾳ χρήσιμος.* Legg. VIII. 843. A: *τῇ τῶν ἀφροδισίων χρήσει.* Def. 412. D: *ἀφειδία ἐν χρήσει καὶ ἐν κτήσει οὐσίας.* Menex. 238. B: *ὅπλων κτῆσίν τε καὶ χρῆσιν διδαξόμενοι.* Clit. 407. E. Legg. VII. 819. C: *εἰς παιδιὰν ἐναρμόττοντες τὰς τῶν ἀναγκαίων ἀριθμῶν χρήσεις.*

χρησμολόγος, ὁ, qui oracula fundit. De virt. 379. C: *ὥσπερ οἱ θεῖοι τῶν μάντεων καὶ οἱ χρησμολόγοι.*

χρησμός, ὁ, oraculum. Pol. III. 415. C: *ὡς χρησμοῦ ὄντος τοτε τὴν πόλιν διαφθαρῆναι.* Apol. 22. E. 21. C: *ἀποφανῶν τῷ χρησμῷ ὅτι* cet. 23. A: *ἐν τῷ χρησμῷ τοὐτῳ τοῦτο λέγειν (κινδυνεύει ὁ θεός).* Hipp. mai. 288. B. Pol. VIII. 566. C: *κατὰ τὸν Κροίσῳ γενόμενον χρησμόν.* Apol. 21. E: *σκοποῦντι τὸν χρησμὸν τί λέγει.*

χρησμῳδία, ἡ, cantus oracula fundens. Prot. 316. D: *τελετάς τε καὶ χρησμῳδίας.*

χρησμῳδός, ὁ, oracula canens vel *fundens.* Apol. 22. C: *ὥσπερ οἱ θεομάντεις καὶ οἱ χρησμῳδοί.* Theag. 124. D.

Digitized by Google

Men. 99. C. De virt. 379. D. Ion. 534. C: *τοῖς χρησμῳδοῖς καὶ τοῖς μάντεσι τοῖς θείοις.* Men. 99. D: *χρησμῳδοὺς καὶ μάντεις.*

χρησμῳδῶ, vaticinor. Pol. IX. 586. B: *παντελῶς ... τὸν τῶν πολλῶν ... χρησμῳδεῖς (velut oraculo canis) βίον.* Apol. 39. C: *ἐν ᾧ μάλιστ' ἄνθρωποι χρησμῳδοῦσιν.* Crat. 396. D: *ἀτεχνῶς γέ μοι δοκεῖς ὥσπερ οἱ ἐνθουσιῶντες ἐξαίφνης χρησμῳδεῖν.* 428. C. Ion. 534. B: *ποιεῖν (carmina fundere) ... καὶ χρησμῳδεῖν.* Apol. 39. B: *ἐπιθυμῶ ὑμῖν χρησμῳδῆσαι.* Legg. IV. 712. A: *ταῦτα ... καθαπερεὶ μῦθός τις λεχθεὶς κεχρησμῳδήσθω.* Ep. VI. 323. C: *κύρια τὰ νῦν κεχρησμῳδημένα ἔσται.*

χρηστός, ή, όν, utilis; bonus, rectus et *verus* (etiam *saluber*); *probus* (etiam iron., ut vern. *gut* et *brav*). Phaedr. 264. B: *χρηστὸς εἶ, ὅτι με ἡγεῖ ἱκανὸν εἶναι τὰ ἐκείνου οὕτως ἀκριβῶς διιδεῖν.* Theaet. 161. A: *φιλόλογός γ' εἶ ἀτεχνῶς καὶ χρηστός, ὅτι με οἴει* cet. 166. A: *οὗτος ... ὁ Σωκράτης ὁ χρηστός.* Conv. 178. C: *ἐραστὴς χρηστός.* Pol. V. 479. A: *ὁ χρηστός (iron.) ὃς* cet. Gorg. 504. B: *οἰκία χρηστὴ ἂν εἴη (oppos. μοχθηρά).* Theaet. 167. B: *χρηστή (ἕξις ψυχῆς).* Pol. IV. 424. A: *τροφὴ ... καὶ παίδευσις χρηστὴ σωζομένη* cet. Prot. 313. D: *ὅ τι χρηστὸν ἢ πονηρὸν περὶ τὸ σῶμα.* Pol. III. 403. D: *ὃ ἂν χρηστὸν ᾖ σῶμα.* X. 602. B: *ὅπῃ πονηρὸν ἢ χρηστόν.* IV. 438. A: *χρηστοῦ ποτοῦ.* Ib. *χρηστοῦ σίτου.* Conv. 183. D: *χρηστῷ (χαρίζεσθαι).* Prot. 326. B: *τῇ διανοίᾳ χρηστῇ οὔσῃ.* Phaedr. 266. E: *τὸν χρηστὸν λέγεις Θεόδωρον;* Pol. I. 334. E: *τὸν δοκοῦντα χρηστὸν τοῦτον φίλον εἶναι.* Ib. *τὸν ὄντα χρηστὸν φίλον.* Phil. 37. E: *ὀρθὴν ἢ χρηστὴν (λύπην ἢ ἡδονήν).* Prot. 313. A: *ἢ χρηστὸν αὐτὸ γενέσθαι ἢ πονηρόν.* Pol. III. 396. D: *ὅταν τι χρηστὸν ποιῇ.* Legg. I. 639. C. Charm. 172. C: *ἴσως ... ἡμεῖς οὐδὲν χρηστὸν ἐζητήσαμεν.* Gorg. 499. E: *οὐκοῦν καὶ λῦπαι ὡσαύτως αἱ μὲν χρησταί εἰσιν, αἱ δὲ πονηραί;* Pol. IV. 424. A: *φύσεις χρησταί.* Crit. 47. A: *χρηστὰ ... οὐχ αἱ τῶν φρονίμων (δόξαι) —;* Pol. III. 401. C: *ὥσπερ αὔρα φέρουσα ἀπὸ χρηστῶν τόπων ὑγίειαν.* Gorg. 464. D: *περὶ τῶν χρηστῶν σιτίων καὶ πονηρῶν.* Polit. 308. C: *ἐκ μοχθηρῶν καὶ χρηστῶν τινῶν.* Pol. III. 409. D: *πλεονάκις ... πονηροῖς, ἢ χρηστοῖς ἐντυγχάνων.* Conv. 177. B: *τοὺς χρηστοὺς σοφιστάς.* Pol. I. 334. C: *τοὺς δοκοῦντας ἑκάστῳ χρηστοὺς εἶναι.* VII. 531. B: *σὺ ... τοὺς χρηστοὺς λέγεις τοὺς ταῖς χορδαῖς πράγματα παρέχοντας* cet. Legg. I. 627. E. Theaet. 167. B: *χρηστὰς καὶ ὑγιεινὰς αἰσθήσεις ἐμποιεῖν.* Phil. 40. E: *πονηρὰς δόξας καὶ χρηστάς.* Pol. IX. 573. B: *ἐπιθυμίας ... ποιουμένας χρηστάς.* Crit. 47. A: *τὰς ... χρηστὰς (δόξας) τιμᾶν* cet. Theaet. 167. C: *τὰ χρηστὰ ἀντὶ τῶν πονηρῶν δίκαια δοκεῖν ... ποιεῖν.* Polit. 308. C: *τὰ ... ἐπιτήδεια καὶ τὰ χρηστὰ ἔλαβεν.*

Digitized by Google

χρηστότης, ῆ, probitas. Def. 412. E: *χρηστότης ἤθους ἁπλαστία μετ' εὐλογιστίας* cet.

χρόα, ᾶ, color. Tim. 80. E: *ἡ δ' ἐρυθρὰ πλείστη περὶ αὐτὸ χρόα διαθεῖ.* Men. 76. D: *ἔστι γὰρ χρόα ἀποῤῥοὴ σχημάτων ὄψει σύμμετρος καὶ αἰσθητός.* Conv. 196. A: *χροὰς ... κάλλος.* Pol. VI. 507. D: *παρούσης ... χροὰς ἐν αὐτοῖς (τοῖς ὁμοίοις).* Ep. VII. 342. D. Men. 75. C: *(σχῆμα) ὃ ἀεὶ χρόα ἕπεται.* Theaet. 182. D: *μεταβολὴν εἰς ἄλλην χρόαν.* Pol. V. 477. C: *δυνάμεως ... ἐγὼ οὔτε τινὰ χρόαν ὁρῶ οὔτε σχῆμα.* Tim. 83. C: *κατὰ τὴν χρόαν.* Lys. 217. C. Men. 75. C. Pol. V. 476. B: *τὰς τε καλὰς φωνὰς ἀσπάζονται καὶ χρόας καὶ σχήματα.* 480: *χρόας καλάς.* VI. 508. C. Tim. 67. C.

χρονίζω, persevero. Phaedr. 255. B: *ὅταν ... χρονίζῃ τοῦτο δρῶν.*

χρόνιος, α, ον, diutinus. Legg. IX. 855. B: *δεσμοῖς ... χρονίοις.*

χρόνος, ὁ, tempus; spatium; temporis longinquitas. Prot. 339. E: *ἵνα μοι χρόνος ἐγγένηται τῇ σκέψει τί λέγοι (ν. λέγει) ὁ ποιήτης.* Id. Conv. 184. A. Soph. 265. E: *χρόνος γὰρ ἐκ περιττοῦ γίγνοιτ' ἄν.* Pol. V. 452. C: *ὅτι οὐ πολὺς χρόνος ἐξ οὗ* cet. Alc. I. 106. E: *ἦν χρόνος ὅτε οὐχ ἡγοῦ εἰδέναι.* Def. 411. B: *χρόνος ἡλίου κίνησις μέτρον φορᾶς.* 415. A: *χρόνος ἱερὸς κατὰ νόμους.* Prot. 345. B: *ἢ ὑπὸ χρόνου ἢ ὑπὸ πόνου.* Phaed. 73. E: *ἃ ὑπὸ χρόνου ... ἤδη ἐπιλέλησται.* Id. Crat. 414. C. 419. D. Parm. 141. D: *χρόνου ... τοῦ ποτὲ γεγονότος.* E: *τοῦ ἔπειτα μέλλοντος (χρόνου).* Ib. *τοῦ νῦν παρόντος.* Pol. VI. 486. A: *θεωρία παντὸς μὲν χρόνου, πάσης δὲ οὐσίας.* 493. B: *χρόνου τριβῇ.* IX. 615. A: *πολλοῦ χρόνου διηγήσασθαι.* Tim. 26. A: *διὰ χρόνου γὰρ οὐχ ἱκανῶς ἐμεμνήμην.* (Cum praep. *διά* vid. I. 459 sq.) Legg. VI. 758. B: *ἐπὶ τὸ πλεῖστον τοῦ χρόνου.* 769. C: *τοῦ ἐπιόντος ἀεὶ χρόνου.* VII. 797. E: *ὑπὸ χρόνου (tempore procedente).* Menex. 234 E: *ἐκ πολλοῦ χρόνου λόγους παρεσκευασμένων.* Gorg. 517. C: *ἐν πάντι τῷ χρόνῳ ὃν διελεγόμεθα.* Phaedr. 228. A: *ἐν πολλῷ χρόνῳ.* (Critia 118. C.). 278. D: *ἄνω κάτω στρέφων ἐν χρόνῳ* (Lat. *multum diuque*). Theaet. 186. C: *μόγις καὶ ἐν χρόνῳ (multo post).* Parm. 141. D: *οὐδ' ἔστιν ἔν τινι χρόνῳ.* Phil. 35. A: *ἐν τῷ νῦν χρόνῳ.* 39. B: *ἐν τῷ τότε χρόνῳ.* Conv. 219. A: *ἐν ... τῷ ἐπιόντι χρόνῳ.* Pol. VIII. 566. D: *ταῖς ... πρώταις ἡμέραις τε καὶ χρόνῳ.* Legg. III. 698. C: *ἔν τινι βραχεῖ χρόνῳ.* IV. 711. D: *ἐν τῷ πολλῷ χρόνῳ.* Ax. 365. B: *τοσόσδε τῷ χρόνῳ (tam grandis aetate).* Abs. *χρόνῳ, tandem.* Conv. 217. B. Pol. III. 409. D. Prot. 353. D: *εἰς τὸν ὕστερον χρόνον.* Phaedr. 233. A: *τοῖς ὀλίγον χρόνον σπουδάζουσιν.* C: *φιλίας πολὺν χρόνον ἐσομένης.* Gorg. 496. E: *κατὰ τὸν αὐτὸν τόπον καὶ χρόνον.* 525. C: *τὸν ἀεὶ χρόνον.* Phaed. 86. C: *πολὺν χρόνον παραμένειν.* Theaet. 172. B: *ὅσον ἂν δοκῇ χρόνον (quam-*

Digitized by Google

diu). 177. D: ἔστι τοσοῦτον χρόνον ὅσον ἂν κέηται ὠφέλιμα. Polit. 294. B: ἐπὶ πάντα τὸν χρόνον. 298. E: πάντα τὸν ἔπειτα χρόνον. 302. A: χρόνον ἀπείραντον. Parm. 146. E: ἐκεῖνον ἂν τὸν χρόνον ἐν ταὐτῷ εἴη τὸ ἕτερον. Phil. 38. E: πλείω χρόνον (*diutius*). 60. E: μηδ' ὁντινοῦν χρόνον. 65. C: πολὺν ἐπισχὼν χρόνον. Id. Conv. 185. D. 192. C: οὐδὲ σμικρὸν χρόνον. 208. C: κλέος εἰς τὸν ἀεὶ χρόνον ἀθάνατον καταθέσθαι. E: εἰς τὸν ἔπειτα χρόνον πάντα. Pol. II. 363. D: ποιοῦσι τὸν ἅπαντα χρόνον ... διάγειν μεθύοντας. VI. 606. B: τοσοῦτον χρόνον περὶ ταῦτα πραγματευόμενον. IX. 576. B: ὅσῳ ἂν πλείω χρόνον ἐν τυραννίδι βιῷ, τοσούτῳ μᾶλλον τοιοῦτος. C: ὃς ἂν πλεῖστον χρόνον καὶ μάλιστα τυραννεύσῃ. Tim. 21. D: διὰ ... χρόνον καὶ φθοράν. 26. B: ἃ πάμπολυν χρόνον (int. *ante*) διακήκοα. 36. E: πρὸς τὸν ξύμπαντα χρόνον. 37. D: μένοντος αἰῶνος ... αἰώνιον εἰκόνα, τοῦτον ὃν δὴ χρόνον ὠνομάκαμεν. Legg. X. 891. A: ὡς δώσοντα εἰς πάντα χρόνον ἔλεγχον. Epin. 974. D: κατὰ χρόνον. Legg. VIII. 850. B: ὅταν δ' ἐξήκωσιν οἱ χρόνοι. Tim. 22. D: διὰ μακρῶν χρόνων γιγνομένη ... φθορά. Legg. VII. 798. B: μακρῶν καὶ πολλῶν χρόνων (*longum per temporis spatium*). Phil. 36. B: ἐν τούτοις τοῖς χρόνοις (*tum*). 50. B. Legg. IX. 872. E: ἔν τισι χρόνοις. III. 680. A: κατὰ τούτους τοὺς χρόνους. V. 738. D: κατὰ χρόνους ... τοὺς προσταχθέντας.

χρυσίον, τό, *aurum*. Alc. I. 122. E: χρυσίον ... καὶ ἀργύριον οὐκ ἔστιν ἐν πᾶσιν Ἕλλησιν, ὅσον ἐν Λακεδαίμονι ἰδίᾳ. Euthyd. 288. E: ὅπου τῆς γῆς χρυσίον πλεῖστον κατορώρυκται. Pol. IV. 442. E: παρακαταθήκην χρυσίου ἢ ἀργυρίου δεξάμενος. VII. 521. A: οὐ χρυσίου (πλούσιοι). VIII. 550. D: χρυσίου πληρούμενον. Legg. V. 728. A: ἀποδίδοται σμικροῦ χρυσίου. De lucri cup. 231. C: χρυσίου σταθμὸν ἥμισυν. Euthyd. 299. E: στατῆρα ... χρυσοῦ. Pol. IV. 422. D: ὅτι ἡμεῖς ... οὐδὲν χρυσίῳ οὐδ' ἀργυρίῳ χρώμεθα. Gorg. 481. A: ἐάν τε χρυσίον ἁρπακὼς ἢ πολύ cet. Theaet. 175. C: κεκτημένος ... πολὺ χρυσίον. Conv. 211. D. οὐ κατὰ χρυσίον ... δόξει σοι εἶναι. Pol. I. 306. E: εἰ ... χρυσίον ἐζητοῦμεν. III. 416. E: χρυσίον ... καὶ ἀργύριον ... ὅτι θεῖον παρὰ θεῶν ἀεὶ ἐν τῇ ψυχῇ ἔχουσι. IX. 589. D. Euthyd. 299. D. Men. 78. C: χρυσίον ... καὶ ἀργύριον κτᾶσθαι. Ep. I. 309. B: τὸ ... χρυσίον τὸ λαμπρὸν ... ἄγει σοι cet. Pol. I. 336. E: πρᾶγμα πολλῶν χρυσίων τιμιώτερον. Legg. V. 742. D: κεκτημένην ... χρυσία καὶ ἀργύρια (τὴν πόλιν).

χρυσοειδής, ὁ ἡ, *auro similis*. Phaed. 110. C: τὴν δὲ (γῆν) χρυσοειδῆ.

χρυσόκερως, ὁ ἡ, *cornua aurata habens*. Alc. II. 149. C: οἱ μὲν χρυσόκερως βοῦς παραστησάμενοι.

χρυσός, ὁ, *aurum*. Tim. 59. B: τιμαλφίστατον κτῆμα

Digitized by Google

χρυσὸς ἠθμεύμενος διὰ πέτρας ἐπάγη. Legg. V. 728. A: *πᾶς γὰρ ὅ τ' ἐπὶ γῆς καὶ ὑπὸ γῆς χρυσὸς ἀρετῆς οὐκ ἀντάξιος.* XII. 955. E. Hipp. mai. 290. E: *ὅτι χρυσὸς ἄρ' ἐστὶν ὁ πάντα καλὰ ποιῶν, ὅπου ἂν προσγένηται.* D. Ep. I. 310. A: *χρυσὸς ἀγλαός* (poët.). II. 314. A: *ὥσπερ χρυσός, ἐκκαθαίρεται.* Prot. 329. D: *ὥσπερ τὰ τοῦ χρυσοῦ μόρια.* Phaedr. 240. A: *οὐσίαν ... ἔχοντα χρυσοῦ* cet. 279. C: *τὸ ... χρυσοῦ πλῆθος εἴη μοι ὅσον* cet. Crat. 398. A. Pol. III. 408. B: *ὑπὸ ... χρυσοῦ πεισθῆναι.* 416. E: *τῇ τοῦ θνητοῦ χρυσοῦ κτήσει.* X. 600. D. Tim. 50. A: *πάντα ... σχήματα πλάσας ἐκ χρυσοῦ.* Critia 121. A: *τὸν τοῦ χρυσοῦ τε καὶ τῶν ἄλλων κτημάτων ὄγκον.* Legg. VII. 819. B: *φιάλας ... χρυσοῦ καὶ χαλκοῦ ... κεραννύντες.* Phaed. 110. E: *χρυσῷ τε καὶ ἀργύρῳ.* Critia 116. D. Alc. I. 123. A: *ὅτι καὶ χρυσῷ καὶ ἀργύρῳ οἱ ἐκεῖ πλουσιώτατοί εἰσι τῶν Ἑλλήνων.* Hipp. mai. 289. E: *χρυσῷ ... κοσμηθέν.* Gorg. 486. D: *ᾗ* (*αἷς?*) *βασανίζουσι τὸν χρυσόν.* Polit. 303. D: *τοῖς τὸν χρυσὸν καθαίρουσι.* Pol. III. 413. E: *βασανίζοντες πολὺ μᾶλλον, ἢ χρυσὸν ἐν πυρί.* (VI. 503. A.). 415. A: *χρυσὸν ἐν τῇ γενέσει συνέμιξεν αὐτοῖς.* IV. 419: *χρυσόν τε καὶ ἄργυρον κεκτημένοι.* 420. E: *χρυσὸν περιθέντες.* Tim. 18. B. Legg. III. 698. A: *ὅτι λῆρος πρὸς χρυσόν τε καὶ ἄργυρόν ἐστιν* cet. V. 741. E. Ep. VII. 324. D: *χρυσὸν* (sic Par. A. Vulgo *χρυσῆν*) *ἀποδείξαντες τὴν ἔμπροσθεν πολιτείαν.*

χρύσους, η, οῦν, aureus (etiam trop., ut Lat. *aureus*). Phaedr. 235. E: *φίλτατος εἶ καὶ ὡς ἀληθῶς χρυσοῦς.* Hipp. mai. 290. D: *χρυσῆ τορύνῃ.* E. Pol. III. 415. B: *χρυσοῦν ἔκγονον.* VIII. 547. B: *τὸ χρυσοῦν (γένος).* Legg. I. 645. A. Polit. 268. E: *περὶ τῆς χρυσῆς ἀρχῆς.* Hipp. mai. 291. B. Pol. V. 468. E: *τοῦ χρυσοῦ γένους εἶναι.* Legg. IV. 705. B: *νομίσματος ἀργυροῦ καὶ χρυσοῦ.* Critia 116. C: *περιβόλῳ χρυσῷ περιβεβλημένον.* 120. C: *ἐν χρυσῷ πίνακι γράψαντες.* Ion, 530. D: *χρυσῷ στεφάνῳ στεφανωθῆναι.* 541. B. Pol. II. 359. E: *χρυσοῦν δακτύλιον.* Legg. VII. 801. B: *χρυσοῦν (πλοῦτον).* Phaedr. 235. D: *χρυσῆν εἰκόνα ... ἀναθῆσειν.* Gorg. 486. D: *εἰ χρυσῆν ἔχων ἐτύγχανον τὴν ψυχήν.* Legg. I. 645. A: *τὴν τοῦ λογισμοῦ ἀγωγὴν χρυσῆν.* Hipp. mai. 291. A. Crat. 397. E: *χρυσοῦν γένος ... τῶν ἀνθρώπων* (398. A: *ἀγαθόν τε καὶ καλόν*). Pol. VIII. 546. E. De lege 319. D: *χρυσοῦν σκῆπτρον ἔχοντα.* Hipp. mai. 301. A: *εἰ χρυσοῖ ἢ ἀργυροῖ ... τύχοιμεν ὄντες.* Conv. 216. E: *καί μοι ἔδοξεν οὕτω θεῖα καὶ χρυσᾶ εἶναι* (*τὰ ἐντὸς ἀγάλματα*). Ion. 535. D: *χρυσοῖσι στεφάνοις.* Critia 120. A: *χρυσαῖς φιάλαις.* Hipp. mai. 290. B: *ὅτι ... τοὺς ὀφθαλμοὺς οὐ χρυσοῦς ἐποίησεν.* Euthyd. 289. A: *οὐδ' εἰ τὰς πέτρας χρυσᾶς ἐπιστοίμεθα ποιεῖν.* Conv. 219. A: *χρύσεα χαλκείων* (ex Hom.) *διαμείβεσθαι.* Critia 116. D: *χρυσᾶ ... ἀγάλματα ἐνέστησαν.*

Digitized by Google

χρυσοχοῶ, *aurum fundo* (prov. in eo dici solitum qui, quum magna sperasset, nihil assequitur). Pol. V. 450. B: *χρυσοχοήσοντας οἴει τούσδε νῦν ἐνθάδε ἀφῖχθαι, ἀλλ' οὐ λόγων ἀκουσομένους;*

χρυσῶ, *inauro*. Euthyd. 299. E: *ἐκ τῶν ἑαυτῶν κρανίων κεχρυσωμένων.*

χρῶ, vid. *χρῶμαι*.

χρῶμα, *τό*, *color* (etiam in musica). Crat. 423. D: *καὶ χρῶμά γε πολλοῖς (ἐστί).* Phil. 12. E. Tim. 68. C. Men. 74. C. Phil. 53. A: *ἐν ᾧ χρώματος μηδεμία μοῖρα ἄλλη μηδενὸς ἂν εἴη.* Tim. 74. D: *ξανθῷ χρώματι προσχρώμενος.* Lys. 217. C: *εἰ ἐθέλοι τις χρωματὶ τῷ ὁτιοῦν ἀλεῖψαι.* Men. 75. B. Phaed. 113. B: *χρῶμα ... ἔχοντα ὅλον οἷον ὁ κυανός.* Theaet. 153. D: *ὃ ... καλεῖς χρῶμα λευκόν.* 163. B: *τὸ σχῆμά τε καὶ τὸ χρῶμα ὁρᾶν* cet. Crat. 432. B. Theaet. 156. B: *χρώματα ... παντοδαπά.* Pol. VI. 507. E: (*ὅτι*) *τὰ ... χρώματα ἔσται ἀόρατα.* Legg. VIII. 847. C: *ὅσα βαπτὰ χρώματα.* XII. 956. A: *χρώματα ... λευκά.* Polit. 277. C: *τῇ συγκράσει τῶν χρωμάτων.* Conv. 211. E. Pol. X. 601. A: (*τοῖς*) *ἐκ τῶν χρωμάτων ... καὶ σχημάτων θεωροῦσι.* B: *γνιγνωθέντα ... τῶν τῆς μουσικῆς χρωμάτων τὰ τῶν ποιητῶν.* Phaedr. 239. D: *ἀλλοτρίοις χρώμασι καὶ κόσμοις ... κοσμούμενον.* Gorg. 465. B: *σχήμασι καὶ χρώμασι.* Phaed. 110. B: *χρώμασι διειλημμένην.* Crat. 394. A: *χρώμασιν ἢ ὀσμαῖς πεποικιλμένα (φάρμακα).* Tim. 82. E. Gorg. 474. D: *χρώματα καὶ σχήματα.* E. Soph. 235. D: *χρώματα ἀποδιδοὺς τὰ προσήκοντα.* 251. A: *τά τε χρώματα ἐπιφέροντες αὐτῷ καὶ σχήματα* cet. Phil. 47. A: *παντοῖα ... χρώματα ... ἀπεργαζόμενον.* 51. B: *περί τε τὰ καλὰ λεγόμενα χρώματα* cet. Pol. II. 373. B: *πολλοὶ ... οἱ περὶ τὰ σχήματά τε καὶ χρώματα (μιμηταί).* IV. 429. E: *ἐάν τέ τις ἄλλα χρώματα βάπτῃ* cet. X. 601. A: *οὕτω .., καὶ τὸν ποιητικὸν φήσομεν χρώματα ἅττα ἑκάστων τῶν τεχνῶν τοῖς ὀνόμασι καὶ ῥήμασιν ἐπιχρωματίζειν.* 602. C: *διὰ τὴν περὶ τὰ χρώματα αὖ πλάνην τῆς ὄψεως.* Tim. 71. B. Legg. II, 688. E: *χρώματά τε καὶ σχήματα.* Id. 669. A. Lys. 222. B: *παντοδαπὰ ἠφίει χρώματα.* Ep. VII. 349. A: *παντοδαπὰ χρώματα ἦκεν.*

χρῶμαι. Act. *mutuum do*. Demod. 384. B: *ὅτι αὐτῷ ἀργύριον χρῆσαι οὐκ ἠθέλησεν.* C. Ib. *χρήσας.* Ep. II. 314. E: *Σπευσίππῳ χρῆσον* (act. pro medio videtur positum esse). Med. *mutuum accipio*. Demod. 384. C: *χρήσασθαι ἐθέλων.* **indigeo*; unde *κεχρημένος*, *indigens*, *egens*. Charm. 161. A. et Lach. 201. B: *κεχρημένῳ ἀνδρί* ex Hom. Legg. IV. 717. C: *παλαιοῖς ἐν τῷ γήρᾳ σφύδρα κεχρημένοις.* **utor*, *adhibeo*; etiam *habeo* (etiam *experior*) vel *exerceo*. Hipp. min. 369. A: *νυνὶ γὰρ ἴσως οὐ χρῇ τῷ μνημονικῷ τεχνήματι.* Ep. II. 314. D. Theag. 123. D: *ᾗ (σοφίᾳ) τί χρώμεθα.* De iusto

Digitized by Google

